XXX. Theophr. ap. Phot. bibl. cod. 278. p. 525. b. Antig. c. 25. Steph Byz. s. v. *Γελωνοί*. Ael. 2, 16. ‖ 17. *τι* om. EFKvulg. ‖ *γενέσθαι* H. ‖ 18. *τάρανδρος* G, *τάνανδρος* H. ‖ *μεταβάλλει* F. ‖ 19. *τῶν τριχῶν* Kvulg. ‖ 20. *εἶναι δὲ διά τε τοῦτο* EFHKvulg. ‖ *καὶ — μεταβολὴν* p. gloss. habet Heynius, item Schneider, qui et *εἶναι — δυσθήρατον* transponit post *γίνεσθαι*.

γὰρ δένδρεσι καὶ τόποις, καὶ ὅλως ἐν οἷς ἂν ᾖ, τοιοῦτον τῇ χροίᾳ γίνεσθαι. θαυμασιώτατον δὲ τὸ τὴν τρίχα μεταβάλλειν· τὰ γὰρ λοιπὰ τὸν χρῶτα, οἷον ὅ τε χαμαιλέων καὶ ὁ πολύπους· τὸ δὲ μέγεθος ὡσανεὶ βοῦς. τοῦ δὲ προσώπου τὸν τύπον ὅμοιον ἔχει ἐλάφῳ.

XXXI (30). Λέγεται δέ τινα ἐν Ἀβύδῳ παρακόψαντα τῇ διανοίᾳ καὶ εἰς τὸ θέατρον ἐρχόμενον ἐπὶ πολλὰς ἡμέρας θεωρεῖν, ὡς ὑποκρινομένων τινῶν, καὶ ἐπισημαίνεσθαι· καὶ ὡς κατέστη τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνον αὐτῷ τὸν χρόνον ἥδιστα βεβιῶσθαι.

XXXII (31). Καὶ ἐν Τάραντι δέ φασιν οἰνοπώλην τινὰ τὴν μὲν νύκτα μαίνεσθαι, τὴν δ' ἡμέραν οἰνοπωλεῖν. καὶ γὰρ τὸ κλειδίον τοῦ οἰκήματος πρὸς τῷ ζωνίῳ διεφύλαττε, πολλῶν δὲ ἐπιχειρούντων παρελέσθαι καὶ λαβεῖν, οὐδέποτε ἀπώλεσεν.

XXXIII (193). Ἐν Τήνῳ τῇ νήσῳ φασὶν εἶναι φιάλιον σύγκραμα ἔχον, ἐξ οὗ πῦρ ἀνάπτουσι πάνυ ῥᾳδίως. (194) καὶ ἐν Βιθυνίᾳ δὲ τῆς Θρᾴκης ἐν τοῖς μετάλλοις γίνεται ὁ καλούμενος σπίνος, ἐξ οὗ φασι πῦρ ἀνάπτεσθαι.

1. οἷς] ἧς F. || 2. χρόα EFKvulg. || γίνεται EFGHAld. || 3. τὰ μὲν γὰρ GH. || 5. τύφον EF. || ἐλάφου G.

XXXI. Horat. epp. 2. 2, 128. || 10. αὐτοῦ Ald.

XXXII. 12. δ' post ἡμέραν K. δὲ vulg. ibid., om. CEF, τὴν δὲ L. || 13. καὶ γὰρ τὸ codd. praeter GH qui τὸ γὰρ, et Ald. vulg. καί γε τὸ || ζωνιδίω BCL. || 14. διεφυλάττετο GH. || παρελέσθαι καὶ om. EFAld.

XXXIII. Steph. Byz. s. v. Τῆνος. Infra post c. CLXXVII. ponunt BCDJ et edd. ante Bk. ut c. CXCIII et CXCIV, hoc loco GHL. || 16. τήλω BCDJ, τήλω L, τήνων H, τινι G. || 17. σύγκριμα J, σύγγραμμα C. || ἔχον om. GH. || οὔ φασι G. || πάνυ om. BCDJL. || 18. post ῥᾳδίως ABCDL, post ἀνάπτεσθαι J: περὶ (πὲρ L) τῶν ἐκ γῆς ἀναφερομένων πυρῶν. || Σιθωνίᾳ Sylb. || 19. λεγόμενος G. || σπίνις G, σπὶν ἰς H, σπῖλος Salm.

XXXIV (32). Ἐν δὲ Λιπάρᾳ τῇ νήσῳ λέγουσιν εἶναί τινα εἰσπνοήν, εἰς ἣν ἐὰν κρύψωσι χύτραν, ἐμβαλόντες ὃ ἂν ἐθέλωσιν ἕψουσιν.

XXXV (33). Ἔστι δὲ καὶ ἐν Μηδίᾳ καὶ ἐν Ψιττακηνῇ τῆς Περσίδος πυρὰ καιόμενα, τὸ μὲν ἐν Μηδίᾳ ὀλίγον, τὸ δ' ἐν Ψιττακηνῇ πολὺ καὶ καθαρὸν τῇ φλογί· διὸ καὶ μαγειρεῖα πρὸς αὐτῷ κατεσκεύασεν ὁ Περσῶν βασιλεύς. ἄμφω δ' ἐν ὁμαλοῖς τόποις καὶ οὐκ ἐν ὑψηλοῖς. ταῦτα δὲ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν φανερά, τὰ δὲ περὶ Παμφυλίαν νύκτωρ μόνον.

XXXVI (34). Φασὶ δὲ καὶ περὶ Ἀτιτανίαν πρὸς τοῖς ὁρίοις τῆς Ἀπολλωνιάτιδος εἶναί τινα πέτραν, ἐξ ἧς τὸ μὲν ἀνιὸν πῦρ οὐ φανερόν ἐστιν, ἐπειδὰν δὲ ἔλαιον ἐπιχυθῇ ἐπ' αὐτήν, ἐκφλογοῦται.

XXXVII (35). Λέγεται δὲ καὶ τὰ ἔξω στηλῶν Ἡρακλείων καίεσθαι, τὰ μὲν διὰ παντός, τὰ δὲ νύκτωρ μόνον, ὡς ὁ Ἄννωνος περίπλους ἱστορεῖ. καὶ τὸ ἐν

XXXIV. 2. τινα εἰσπνοήν] τινες γῆν BCEFKvulg. || 3. ἂν om. EKvulg., ἐὰν BCL, ἢ F. || θέλουσι EK, θέλωσιν L, ἐθέλουσιν vulg. || ἕψεσθαι idque ante ὃ H, ἕψουσιν Ald.

XXXV. Steph. Byz. s. v. Ψιττακή. || 4. καὶ om. C. || μηδεία BC. || 5. et 6. Ψιττακῇ BC, Ψιττακίνῃ EFGHKvulg., Ψιττακήνῃ L. || τὸ — τὰ EFKvulg. || 6. δὲ Lvulg. || ἐν τῇ B. || 7. μάγειρας L. || αὐτὸ GH. || 8. δὲ vulg. || ὁμαλοῖς καὶ οὐκ ἐν ὑψηλοῖς τόποις GH, ὁμαλοῖς τόποις καὶ οὐκ ἐν ἀνωμάλοις cett. et vulg., οὐκ ἀνωμάλοις Ald. || 9. ταῦτα δὲ καὶ om. GH, καὶ om. EF, ταῦτα δὲ καὶ νυκτὸς καὶ ἡμέρας φανερά, τὸ δὲ περὶ παμφιλίαν νύκτωρ μόνον L, in quibus νύκτωρ — παμφιλίαν a. m. rc. inter versus. vulg. ἐνταῦθα δὲ νύκτωρ. || 10. ἐν Παμφυλίᾳ vulg. || post μόνον L statim transit ad εἶναι δὲ καὶ c. XXXVII.

XXXVI. cf. CXXVII. 11. καὶ om. BCH. || Ἀτιντανίαν vulg. || 12. τῆς] τοῖς Ald. 2. || ἀπολλωνιάδος C. || 14. ἐκφλογοῦνται Ald. 2.

XXXVII. Hann. peripl. p. 40. ed. Frob. Plin. h. n. 3, 9. 2, 88. || 15. καὶ τὰ ἔξω δὲ omisso λέγεται H. δὲ om. G || 16. τὰ δὲ] πάλιν δὲ C. || 17. ὁ om. EFHvulg. || Ἄνωνος Ald. || ἐν τῇ vulg.

Λιπάρᾳ δὲ φανερὸν καὶ φλογῶδες, οὐ μὴν ἡμέρας, ἀλλὰ νύκτωρ μόνον. (36) *εἶναι δὲ καὶ ἐν Πιθηκούσαις φασὶ πυρῶδες μὲν καὶ θερμὸν ἐκτόπως, οὐ μὴν καιόμενον.*

XXXVIII (37). *Τὸ δ' ἐν τῇ Λιπάρᾳ ποτὲ καὶ ἐκλιπεῖν φησι Ξενοφάνης ἐπ' ἔτη ἑκκαίδεκα, τῷ δὲ ἑβδόμῳ ἐπανελθεῖν.* (38) *τὸν δ' ἐν τῇ Αἴτνῃ ῥύακα οὔτε φλογώδη φασὶν οὔτε συνεχῆ, ἀλλὰ διὰ πολλῶν ἐτῶν γίνεσθαι.*

XXXIX. *Λέγεται δὲ καὶ περὶ Λυδίαν ἀναζέσαι πῦρ πάμπληθες καὶ καίεσθαι ἐφ' ἡμέρας ἑπτά.*

XL. *Θαυμαστὸν δὲ τὸ ἐν Σικελίᾳ περὶ τὸν ῥύακα γινόμενον· τὸ γὰρ πλάτος ἐστὶ τὸ τῆς τοῦ πυρὸς ἀναζέσεως τεσσαράκοντα σταδίων, τὸ δὲ ὕψος δι' οὗ φέρεται, τριῶν.*

XLI. *Φασὶ δὲ τὸν ἐν τῇ Θρᾴκῃ λίθον τὸν καλούμενον σπίνον διακοπέντα καίεσθαι, καὶ συντεθέντα πρὸς ἑαυτὸν, ὥσπερ τὴν σμαρίλην, οὕτως κἀκεῖνον εἰς ἑαυτὸν τεθέντα καὶ ἐπιρραινόμενον ὕδατι καίεσθαι. τὸ δ' αὐτὸ ποιεῖν καὶ τὸν μαριέα.*

XLII. *Περὶ Φιλίππους τῆς Μακεδονίας εἶναι λέ-*

1. *λιπάρῳ* rc. H. ‖ 2. *νυκτὸς* BCEF. ‖ *πιθηκούσαις* C. ‖ 3. *μέντοι* GH.

XXXVIII. 4. *τῇ* om. G. ‖ 5. *ἐκλείπειν* BCEFGvulg. ‖ *ξενοφάνης φησὶν* GH. ‖ *ἐπ'* om. BCEFvulg. ‖ 6. *τὸ* EF. ‖ *ἐν τῇ* om. H, *τῇ* om. G. ‖ 7. *αἰτιῶν* EFAld. 1.

XXXIX. *Λυκίαν* coni. Beckm. coll. c. CXXVII. ‖ 9. *ἀναφέρεσθαι* BCEFvulg. ‖ 10. *καίεσθαι*] *ἐλθὸν* L.

XL. 11. *θαυμαστότατον* BCEFvulg. ‖ *τὸν* omissis mox *περὶ τὸν* H. ‖ *ῥύακα* H, *ῥύακον* EF. ‖ 12. *γενόμενον* CEFHLAld. ‖ *ἀναζεύξεως* CL. ‖ 13. *δι'* om. EFvulg.

XLI. Theoph. d. lapid. 24. cf. c. XXXIII. ‖ 16. *καίεσθαι* ex mg. admissum putat Heyn. ‖ 17. *σμαρίλλην* CEFGHAld. ‖ *οὗτος* Ald. ‖ 18. *τεθέντα* G. ‖ *τὸ δ' αὐτό* om. H. ‖ 19. *μαριθὰν* CEFLvulg., *θρακιαν* Sylb., *νάφθαν* Salm.

XLII. 20. *τοὺς ἐν μακεδονίᾳ* GH.

γουσι μέταλλα, ἐξ ὧν τὰ ἐκβαλλόμενα ἀποσύρματα αὐξάνεσθαί φασι καὶ φύειν χρυσίον, καὶ τοῦτ᾽ εἶναι φανερόν.

XLIII. *Φασὶ δὲ καὶ ἐν Κύπρῳ περὶ τὸν καλούμενον Τυρρίαν χαλκὸν ὅμοιον γίγνεσθαι. κατακόψαντες γάρ, ὡς ἔοικεν, εἰς μικρὰ σπείρουσιν αὐτόν· εἶθ᾽ ὑδάτων ἐπιγενομένων αὐξάνεται καὶ ἐξανίησι καὶ οὕτως συνάγεται.*

XLIV. *Φασὶ δὲ καὶ ἐν Μήλῳ τῇ νήσῳ ἐν τοῖς ἐξορυσσομένοις τόποις τῆς γῆς πάλιν ἀναπληρώματα γίγνεσθαι.*

XLV. *Περὶ Παιονίαν λέγουσιν, ὅταν συνεχεῖς ὄμβροι γένωνται, εὑρίσκεσθαι περιτηκομένης τῆς γῆς χρυσὸν τὸν καλούμενον ἄπυρον.* (46) *λέγουσι δ᾽ ἐν τῇ Παιονίᾳ οὕτω χρυσίζειν τὴν γῆν, ὥστε πολλοὺς εὑρηκέναι καὶ ὑπὲρ μνᾶν χρυσίου ὁλκήν. τῷ δὲ βασιλεῖ τινά φασιν εὑρόντα ἀνενεγκεῖν δύο βώλους, τὸν μὲν τρεῖς μνᾶς ἄγοντα, τὸν δὲ πέντε· οὓς φασιν ἐπὶ τῆς τραπέζης αὐτῷ παρακεῖσθαι, καὶ ἐπ᾽ ἐκείνων πρῶτον, εἴ τι ἐσθίει, ἀπάρχεσθαι.*

XLVI (47). *Φασὶ δὲ καὶ ἐν Βάκτροις τὸν Ὦξον*

1. *ἐμβαλλόμενα* L. ‖ *αὐξάνεσθαί φασιν ἀποσύρματα* G. ‖ 2. *τοῦτο* vulg.

XLIII. 4. *δὲ* om. CEFGvulg. ‖ *λεγόμενον* EFvulg. ‖ 5. *Τυρριάν* CL, *τὸ — Κουριον* Meurs ‖ 6. *εἶτα* vulg. ‖ 7. *ἐξανίησι*] *ἀνίεται* EFvulg. ‖ *καὶ οὕτως συνάγεται* om. H, *συναγάγεται* Ald.

XLIV. 10. *πάλιν* om. G. ‖ *ἀναπλήρωμα* H.

XLV. 13. *οἱ ὄμβροι* EFvulg. ‖ *γίνωνται* Evulg., *γίνονται* F. ‖ *εὑρίσκεται* L. ‖ 16. *ὑπὲρ τὴν μνᾶν* CEFGvulg. ‖ *τινά* om. CEFGvulg. ‖ 17. *εὑρόντας* CEFGvulg. ‖ *μώβους* E, *βόλους* Ald. 1, *obolos* Nat. d. Com. ‖ 19. *αὐτῷ* om. HAld. ‖ post *παρακεῖσθαι* L *καὶ ἀπὸ ἐκείνων ἀρχόμεναι* (— *ον?*) *ἔτι ἐστη* —. ‖ 20. *ἀπέρχεσθαι* EF.

XLVI. 21. *ὦζον* FGH, *ὦξον* m. sec. L, *τόξον* om. *τὸν* C.

ποταμὸν καταφέρειν βώλια χρυσίου πλήθει πολλά, καὶ ἐν Ἰβηρίᾳ δὲ τὸν καλούμενον Θεόδωρον ποταμὸν ἐκβράσσειν τε πολὺ περὶ τὰ χείλη χρυσίον, ὁμοίως δὲ καὶ καταφέρειν.

XLVII (48). *Λέγουσι δὲ καὶ ἐν Πιερίᾳ τῆς Μακεδονίας ἄσημόν τι χρυσίον κατορωρυγμένον ὑπὸ τῶν ἀρχαίων βασιλέων, χασμάτων τεττάρων ὄντων, ἐξ ἑνὸς αὐτῶν ἀναφῦναι χρυσίον, τὸ μέγεθος σπιθαμιαῖον.*

XLVIII (49). *Λέγεται δὲ ἰδιαιτάτην εἶναι γένεσιν σιδήρου τοῦ Χαλυβικοῦ καὶ τοῦ Ἀμισηνοῦ. συμφύεται γάρ, ὥς γε λέγουσιν, ἐκ τῆς ἄμμου τῆς καταφερομένης ἐκ τῶν ποταμῶν. ταύτην δ' οἱ μὲν ἁπλῶς φασι πλύναντας καμινεύειν, οἱ δὲ τὴν ὑπόστασιν τὴν γενομένην ἐκ τῆς πλύσεως πολλάκις πλυθεῖσαν συγκαίειν, παρεμβάλλειν δὲ τὸν πυρίμαχον καλούμενον λίθον· εἶναι δ' ἐν τῇ χώρᾳ πολύν. οὗτος δ' ὁ σίδηρος πολὺ τῶν ἄλλων γίνεται καλλίων. εἰ δὲ μὴ ἐν μιᾷ καμίνῳ ἐκαίετο, οὐδὲν ἄν, ὡς ἔοικε, διέφερε τἀργυρίου. μόνον δέ φασιν αὐτὸν ἀνίωτον εἶναι, οὐ πολὺν δὲ γίνεσθαι.*

XLIX (50). *Φασὶ δὲ καὶ ἐν Ἰνδοῖς τὸν χαλκὸν οὕτως εἶναι λαμπρὸν καὶ καθαρὸν καὶ ἀνίωτον, ὥστε μὴ διαγινώσκεσθαι τῇ χρόᾳ πρὸς τὸν χρυσόν, ἀλλ' ἐν*

1. *χρυσία* EFHAld., *χρύσεια* vulg || *πλῆθος* CL, om. EFH. || 2. *ἐμβρύσσειν* Ald.

XLVII. 5. *λέγεται* EFH. || 7. *τε τεττάρων* Sylb.

XLVIII. 9. *ἰδιωτάτην* EFGHvulg. || 10. *Ἀμισηνοῦ*] *ἀσημίου μυσινοῦ* HAld. (*μησινοῦ* Ald. 2.), *ἀσιμίου μησηνοῦ* EF, *Μισικοῦ* vulg., *Μυσικοῦ* Ising. || 12. *δὲ* vulg. || *μὲν* om. Ald. 2. || *πλύναντας* Sylb., codd. *πλύναντες.* || 13. *καὶ μινεύειν* EF. || *τῆς γινομένης* G. || 14. *φλύσεως* EF, *φύσεως* GAld. || *παρεμβάλειν* E. || 15. *δὲ τῷ πυρὶ μάχον* G. || 16. *δὲ* vulg. || 17. *ἐκκαίετο* EFGAld. || 18. *διαφέρετ' ἀργ.* Ald. || *ἀργύρου* G. || 19. *εἶναι* om. CEFHvulg.

XLIX. 21. *ὡς* EFHvulg.

τοῖς Δαρείου ποτηρίοις βατιακὰς εἶναί τινας καὶ πλείους, ἃς εἰ μὴ τῇ ὀσμῇ, ἄλλως οὐκ ἦν διαγνῶναι πότερον εἰσὶ χαλκαῖ ἢ χρυσαῖ.

L (51). Τὸν κασσίτερον τὸν Κελτικὸν τήκεσθαί φασι πολὺ τάχιον μολύβδου. σημεῖον δὲ τῆς εὐτηξίας, ὅτι τήκεσθαι δοκεῖ καὶ ἐν τῷ ὕδατι· χρώζει γοῦν, ὡς ἔοικε, ταχύ. τήκεται δὲ καὶ ἐν τοῖς ψύχεσιν, ὅταν γένηται πάγη, ἐγκατακλειομένου ἐντός, ὥς φασι, καὶ συνωθουμένου τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος αὐτῷ διὰ τὴν ἀσθένειαν.

LI (52). Ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται δὲ καλλιστέφανος· ταύτης πάντα τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις ἐναντία πέφυκεν· ἔξω γὰρ ἀλλ' οὐκ ἐντὸς ἔχει τὰ χλωρά. ἀφίησί τε τοὺς πτόρθους ὥσπερ ἡ μύρτος εἰς τοὺς στεφάνους συμμέτρως. ἀπὸ ταύτης φυτὸν λαβὼν ὁ Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη παρὰ τὸν Ἰλισσὸν ποταμόν, σταδίους ἑξήκοντα τοῦ ποταμοῦ ἀπέχουσα· περιῳκοδόμηται δέ, καὶ ζημία μεγάλη τῷ θιγόντι αὐτῆς ἐστιν. ἀπὸ ταύτης δὲ τὸ φυτὸν λαβόντες ἐφύτευσαν Ἠλεῖοι ἐν Ὀλυμπίᾳ, καὶ τοὺς στεφάνους ἀπ' αὐτῆς ἔδωκαν.

LII (53). Ἐν τοῖς περὶ Λυδίαν μετάλλοις τοῖς

1. βατιανὰς rc G, βατιατικὰς EFHAld.

L. 4. κασίτερον E. || 5. μολίβδου EFHAld. || 7. ὅτι EF, ὅτε Hvulg. || 8. εἰ κατακλειομένου G. || φασιν Ald.

LI. Schol. Arist. Plut. v. 586. Suid. s. v. κοτίνου στεφάνῳ. || 12. ταύτης δὲ π. Hvulg. || 13. ἀλλ om. HAld. || ἔξω γὰρ οὐκ, ἀλλ' ἐντὸς Kust. || 14. χλωρὰ] λευκὰ Suid. || πτύρους Ald. 2. || 15. εἰς] πρὸς C. || συμμέτρους EG, σύμμετρον C. || ταύτης δὲ φ. GH. || 18. ἑξήκοντα] ὀκτὼ Schol. Theocr. 4, 7. || 19. θήγοντι G. || 20. αὐτῆς] ταύτης CEFGL. || 21. ἠλεῖοι ἐφύτευσαν G.

LII. Totum interpolatum esse censet Heyn.

περὶ Πέργαμον, ἃ δὴ καὶ Κροῖσος εἰργάσατο, πολέμου τινὸς γενομένου κατέφυγον οἱ ἐργαζόμενοι ἐπ' αὐτά, τοῦ δὲ στομίου ἐποικοδομηθέντος ἀπεπνίγησαν· καὶ ὕστερον χρόνῳ πολλῷ τῶν μετάλλων ἀνακαθαρθέντων εὑρέθη οἷς ἐχρῶντο ἀγγείοις πρὸς τὰς ὑπὸ χεῖρα χρείας ἀπολελιθωμένα, οἷον ἀμφορεῖς καὶ τὰ τοιουτότροπα. ταῦτα δὴ πεπληρωμένα οὗ τινος ἔτυχον ὑγροῦ ἐλελίθωτο, καὶ προσέτι τὰ ὀστᾶ τῶν ἀνθρώπων.

LIII (54). *Ἐν τῇ Ἀσκανίᾳ λίμνῃ οὕτω νιτρῶδές ἐστι τὸ ὕδωρ, ὥστε τὰ ἱμάτια οὐδενὸς ἑτέρου ῥύμματος προσδεῖσθαι· κἂν πλείω χρόνον ἐν τῷ ὕδατι ἐάσῃ τις, διαπίπτει.*

LIV (55). *Περὶ τὴν Ἀσκανίαν λίμνην Πυθόπολίς ἐστι κώμη ἀπέχουσα Κίου ὡς σταδίους ἑκατὸν εἴκοσι, ἐν ᾗ τοῦ χειμῶνος ἀναξηραίνεται πάντα τὰ φρέατα, ὥστε μὴ ἐνδέχεσθαι βάψαι τὸ ἀγγεῖον, τοῦ δὲ θέρους πληροῦται ἕως τοῦ στόματος.*

LV (56). *Ὁ πορθμὸς ὁ μεταξὺ Σικελίας καὶ Ἰταλίας αὔξεται καὶ φθίνει ἅμα τῷ σεληνίῳ.*

LVI (57). *Καὶ διότι ἐπὶ τῆς ὁδοῦ τῆς εἰς Συρακούσας κρήνη ἐστὶν ἐν λειμῶνι οὔτε μεγάλη οὔτε ὕδωρ ἔχουσα πολύ· συναπαντήσαντος δὲ εἰς τὸν τόπον ὄχλου πολλοῦ παρέσχεν ὕδωρ ἄφθονον.*

LVII (58). *Ἔστι δὲ καὶ κρήνη τις ἐν Παλικοῖς τῆς*

2. *γινομένου* CL. ‖ 4. *ἀνακαρθέντων* HAld. ‖ 6. *ἀπολελιθωμένον* (*οις* supra *ον*) C. ‖ *ἀναφορεῖς* EF. ‖ 7. *δὲ* G.

LIII. Antig. c. 156. ‖ 10. *ῥύματος* CEFHAld. ‖ 12. *διαπίπτειν* G.

LIV. Antig. c. 162. ‖ 13. *μυθήπολις* EFHvulg. ‖ 14. *ἔστιν* Ald. ‖ *κόμη* Ald. ‖ *κίων* C ‖ 15. *ἀναξηραίνεσθαι* codd.

LV. Antig. c. 125. ‖ 18. *καὶ τῆς ἰτ.* EF.

LVI. Sotion c. 7.

LVII. Sotion c. 8. Steph. Byz. s. v. *Παλική*. ‖ 24. *παλικμοῖς* EF, *παλίσκοις* HAld.

Σικελίας, ὡς δεκάκλινος· αὕτη δ' ἀναρρίπτει ὕδωρ εἰς ὕψος ἓξ πήχεις, ὥστε ὑπὸ τῶν ἰδόντων νομίζεσθαι κατακλυσθήσεσθαι τὸ πεδίον· καὶ πάλιν εἰς ταὐτὸ καθίσταται. ἔστι δὲ καὶ ὅρκος, ὃς ἅγιος αὐτόθι δοκεῖ εἶναι· ὅσα γὰρ ὄμνυσί τις, γράψας εἰς πινακίδιον ἐμβάλλει εἰς τὸ ὕδωρ. ἐὰν μὲν οὖν εὐορκῇ, ἐπιπολάζει τὸ πινακίδιον· ἐὰν δὲ μὴ εὐορκῇ, τὸ μὲν πινακίδιον βαρὺ γενόμενον ἀφανίζεσθαί φασι, τὸν δ' ἄνθρωπον πίμπρασθαι. διὸ δὴ λαμβάνειν τὸν ἱερέα παρ' αὐτοῦ ἐγγύας ὑπὲρ τοῦ καθαίρειν τινὰ τὸ ἱερόν.

LVIII (59). Δημόνησος ἡ Χαλκηδονίων νῆσος ἀπὸ Δημονήσου τοῦ πρώτου ἐργασαμένου τὴν ἐπωνυμίαν εἴληφεν· ἔχει δ' ὁ τόπος κυανοῦ τὸ μέταλλον καὶ χρυσοκόλλης. ταύτης δ' ἡ καλλίστη πρὸς χρυσίον εὑρίσκει τιμήν· καὶ γὰρ φάρμακον ὀφθαλμῶν ἐστιν. ἔστι δὲ αὐτόθι χαλκὸς κολυμβητὴς ἐν δυοῖν ὀργυιαῖς τῆς θαλάσσης· ὅθεν ὁ ἐν Σικυῶνί ἐστιν ἀνδριὰς ἐν τῷ ἀρχαίῳ νεῷ τοῦ Ἀπόλλωνος καὶ ἐν Φενεῷ, οἱ ὀρείχαλκοι καλούμενοι. ἐπιγέγραπται δ' αὐτοῖς »Ἡρακλῆς Ἀμφιτρύωνος Ἦλιν ἑλὼν ἀνέθηκεν.« αἱρεῖ δὲ τὴν Ἦλιν, ἡγουμένης κατὰ χρησμὸν γυναικὸς, ἧς τὸν πατέρα Αὐγείαν ἀπέκτεινεν. οἱ δὲ τὸν χαλκὸν ὀρύττοντες ὀξυδερκέστατοι γίνονται, καὶ οἱ βλεφαρίδας μὴ ἔχοντες φύουσι·

1. ἀναρράπτει G. ‖ 3. πέδον G. ‖ 5. ὄμμασι EF, γράμμασι HAld. ‖ 6. ἐπιπολλάζει Ald. ‖ 7. πινάκιον C. ‖ βαρὺ γενόμενον om. pr. G. ‖ 8. καὶ πίμπρασθαι τὸν ἄνθρ. rc. G. ‖ 9. ἐγγύαν CHvulg.

LVIII. Antig. c. 131. Steph. Byz. s. v. Δημόνησος. ‖ 11. δημόννησος et mox δημοννήσου EF. ‖ Χαλκηδονίων Salm. Καρχηδονίων codd. Καρχηδινίων Ald. ‖ 13. δὲ vulg. ‖ κυανοῦν CFHvulg., κυδνοῦν E. ‖ 14. ταύτη EFHAld. ‖ 15. τιμήν] τις EFHAld. 1. εὑρίσκεται omisso τιμὴν Ald. 2. ‖ 16. κολυμβητὸς G. ‖ δυεῖν Hvulg. ‖ 17. θαλάττης C. ‖ ὁ om. C. ‖ 18. ναῷ EFHvulg. ‖ 19. δὲ vulg. ‖ Ἡρ. ὁ Ἀ. FHvulg. ‖ 20. ἑλεῖν E, ἑλὴν F. ‖ 22. ἀπέκτεινεν EF.

παρὸ καὶ οἱ ἰατροὶ τῷ ἄνθει τοῦ χαλκοῦ καὶ τῇ τέφρᾳ τῇ Φρυγίᾳ χρῶνται πρὸς τοὺς ὀφθαλμούς.

LIX (60). Ἔστι δὲ αὐτόθι σπήλαιον ὃ καλεῖται γλαφυρόν· ἐν δὲ τούτῳ κίονες πεπήγασιν ἀπό τινων σταλαγμῶν. ἀποδηλοῖ δὲ τοῦτο ἐν τῇ συναγωγῇ τῇ πρὸς τὸ ἔδαφος· ἔστι γὰρ ταύτῃ στενώτατον.

LX (61). Ἐκ τοῦ ζεύγους δὲ τῶν ἀετῶν θάτερον τῶν ἐγγόνων ἁλιαίετος γίνεται παραλλάξ, ἕως ἂν σύζυγα γένηται. ἐκ δὲ ἁλιαιέτων φήνη γίνεται, ἐκ δὲ τούτων περκνοὶ καὶ γῦπες· οὗτοι δ' οὐκέτι διορίζουσι περὶ τοὺς γῦπας, ἀλλὰ γεννῶσι τοὺς μεγάλους γῦπας· οὗτοι δ' εἰσὶν ἄγονοι. σημεῖον δὲ τοῦτο, διότι νεοττιὰν οὐδεὶς ἑώρακε γυπὸς μεγάλου.

LXI (62). Θαυμαστὸν δὲ τί φασιν ἐν Ἰνδοῖς περὶ τὸν ἐκεῖ μόλυβδον συμβαίνειν· ὅταν γὰρ τακεὶς εἰς ὕδωρ καταχυθῇ ψυχρόν, ἐκπηδᾶν ἐκ τοῦ ὕδατος.

LXII (63). Φασὶ τὸν Μοσσύνοικον χαλκὸν λαμπρότατον καὶ λευκότατον εἶναι, οὐ παραμιγνυμένου αὐτῷ κασσιτέρου, ἀλλὰ γῆς τινος αὐτοῦ γινομένης καὶ συνεψομένης αὐτῷ. λέγουσι δὲ τὸν εὑρόντα τὴν κρᾶσιν μηδένα διδάξαι· διὸ τὰ προγεγονότα ἐν τοῖς τόποις χαλκώματα διάφορα, τὰ δ' ἐπιγιγνόμενα οὐκέτι.

LIX. 3. δὲ] γὰρ CEFHvulg. || 4. κίονες intpp. codd. χιόνες. || 5. ἀναγωγῇ EFHvulg. || 6. στενότατον EF, στεγνότατον CHvulg., στεγνοταιότατον L.

LX. Plin. hist. nat. 10, 3. || 8. ἀγόνων EFHvulg. || 9. τ. οἱ π. EFGHvulg. || 10. περηνοὶ G. || καὶ om. CGL. || δὲ vulg. || 11. γύπους E. || οὗτοι δ'] οὕπερ G. || 12. τούτου Sylb. || νεοττείαν EFAld. || 13. μεγάλην C.

LXI. 14. φασιν] τὰ EAld. || 15. μόλιβδον EFAld. || συμβαίνει GH. || 16. καταχεθῇ G, κατασχεθῇ EFAld., καταψυχυθῇ L. || ψυχρὸν] θερμὸν L in mg. rc.

LXII. 17. λίκκον EFAld. 1. || 19. αὐτοῦ] αὐτῷ G.

LXIII (64). *Ἐν τῷ Πόντῳ λέγουσι τοῦ χειμῶνος τῶν ὀρνέων τινὰ εὑρίσκεσθαι φωλεύοντα, οὔτε ἀφοδεύοντα, οὔτε δὲ ὅταν τὰ πτερὰ αὐτῶν τίλλωσιν αἰσθάνεσθαι, οὔτε ὅταν ἐπὶ τὸν ὀβελίσκον ἀναπαρῇ, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διακαυθῇ. πολλοὺς δὲ καὶ τῶν ἰχθύων λέγουσι περικοπέντας καὶ περιτμηθέντας μὴ αἰσθάνεσθαι, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διαθερμανθῶσιν.*

LXIV (65). *Ἡ μέλιττα δοκεῖ τὰς τροπὰς σημαίνειν τῷ ἐπὶ τὰ ἔργα βαδίζειν, ᾧ καὶ οἱ μελιττοπόλοι σημείῳ χρῶνται· ἠρεμία γὰρ αὐτῶν γίνεται. δοκοῦσι δὲ καὶ οἱ τέττιγες ᾄδειν μετὰ τροπάς.*

LXV (66). *Φασὶ δὲ καὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν ἄχρις ἐνιαυτοῦ.*

LXVI (67). *Τὸν δὲ γαλεώτην, ὅταν ἐκδύσηται τὸ δέρμα, καθάπερ οἱ ὄφεις, ἐπιστραφέντα καταπίνειν· τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιληπτικοῖς.*

LXVII (68). *Λέγουσι δὲ καὶ τὸ τῆς ἄρκτου στέαρ, ὅταν διαπεπηγὸς ᾖ διὰ τὸν χειμῶνα, καθ' ὃν ἂν χρόνον ἐκείνη φωλεύῃ, αὐξάνεσθαι καὶ ὑπεραίρειν τὰ ἀγγεῖα ἐν οἷς ἂν ᾖ.*

LXIII. 2. *φωλεύοντα* om. EFAld. || *οὔτε δὲ ἀφ.* EFvulg. *ἀφοδεύοντα οὔτε δὲ* om. G. *ἀφροδεύοντα* Ald. 2. || 3. *δὲ* om. vulg. || *ὅτε* CG, *ὄντα* EF. || 4. *ἀλλ'*] *καὶ* C, *οὔτε* vulg. || *ἀλλ' — αἰσθάνεσθαι* om. Ald. || 5. *τῶν* om. C. || 7. *θερμανθῶσιν* EFGHvulg.

LXIV. 8. *μέλιτα* C. || 9. *μελιττοπώλοι* E, *μελιττοπῶλοι* Ald., *μελιττοπῶλαι* C, *μελιττοπόλαι* L. || 10. Plin. h. n. 11, 29.

LXV. 13. *ἄχρις* CH, *ἄχρι* cett.

LXVI. Theophr. ap. Phot. bibl. cod. 278. p. 528. a. Trophilus ap. Stob. floril. 100, 23. || 15. *πίνειν* L. || 16. *τηρεῖται* Hvulg., *τηρεῖ* E.

LXVII. Theophr. d. odor. p. 453. || 18. *ἄκτου* C. || 20. *ἐκεῖνα φωλεύῃ αὐξαίνεσθαι* C, *φωλεύοι* Ald.

LXVIII (69). *Ἐν Κυρήνῃ φασὶ τοὺς ὄντας βατράχους ἀφώνους τὸ παράπαν εἶναι. καὶ ἐν Μακεδονίᾳ ἐν τῇ τῶν Ἠμαθιωτῶν χώρᾳ τοὺς σῦς εἶναι μώνυχας.*

LXIX (70). *Ἐν Καππαδοκίᾳ φασὶν ἡμιόνους εἶναι γονίμους καὶ ἐν Κρήτῃ αἰγείρους καρποφόρους.*

LXX (71). *Φασὶ δὲ καὶ ἐν Σερίφῳ τοὺς βατράχους οὐκ ᾄδειν· ἐὰν δὲ εἰς ἄλλον τόπον μετενεχθῶσιν, ᾄδουσιν.*

LXXI (72). *Ἐν Ἰνδοῖς ἐν τῷ Κέρατι καλουμένῳ ἰχθύδια φασὶ γίνεσθαι, ἃ ἐν τῷ ξηρῷ πλανᾶται, καὶ πάλιν ἀποτρέχει εἰς τὸν ποταμόν.*

LXXII (73). *Φασὶ δὲ καὶ περὶ Βαβυλῶνά τινες ἰχθύας τινὰς μένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου τοῦ ποταμοῦ· τούτους ἐξιόντας ἐπὶ τὰς ἅλως νέμεσθαι, καὶ βαδίζειν ἐπὶ τῶν πτερύγων, καὶ ἀνακινεῖν τὴν οὐράν· καὶ ὅταν διώκωνται, φεύγειν καὶ εἰσδύντας ἀντιπροσώπως ἵστασθαι· πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. ἔχουσι δὲ τὴν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δὲ ἄλλο σῶμα κωβιῷ, βραγχία δὲ ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες.*

LXXIII (74). *Ἐν Ἡρακλείᾳ δὲ τῇ ἐν τῷ Πόντῳ καὶ ἐν Ῥηγίῳ γίνεσθαί φασιν ὀρυκτοὺς ἰχθῦς, τούτους*

LXVIII. Arist. hist. an. 8, 27. 2, 2. Antig. c. 66. || 3. *μαθιωτῶν* L. || *τοὺς ὄνους σῦς* C. || *μόνυχας* E. post *μων.* L habet m. rc. *καὶ τοὺς ὄνους εἶναι μονοκέρους.*

LXIX. Theophr. ap. Plin. h. n. 8, 44. et hist. plant. 3, 5.

LXX. Antig. c. 4. Ael. 3, 37. om. EFHAld. c. LXX. et LXXI.

LXXI. Theophr. d. pisc. p. 467. || 11. *ὑποτρέχει* G.

LXXII. Theophr. l. l. || 13. *ἰχθύδιά τινα* CEFHvulg. || 14. *δὲ τοῦ* G. || 17. *ἀντιπροσώπω* EF, *ἀντιπροσώπου* C, *ἀντὶ προσώπων* Ald. || 19. *κοβιῷ* Ald.

LXXIII. Theophr. l. l. p. 469. et ap. Plin. h. n. 9, 57. || 22. *ῥυγίῳ* C, *ῥυθίῳ* L. || *ἰχθύας* EFHvulg.

δὲ μάλιστα κατὰ τὰ ποτάμια καὶ τὰ ἔνυδρα χωρία. συμβαίνειν δέ ποτε ἀναξηραινομένων τῶν χωρίων κατά τινας χρόνους συστέλλεσθαι κατὰ γῆς, εἶτα μᾶλλον ἀναξηραινομένης διώκοντας τὴν ὑγρότητα διέεσθαι εἰς τὴν ὕλην, εἶτα ξηραινομένης διαμένειν ἐν τῇ ἰκμάδι, ὥσπερ τὰ ἐν ταῖς φωλεαῖς διαρκοῦντα. ὅταν δὲ ἀνασκάπτωνται πρὶν ἢ τὰ ὕδατα ἐπιγενέσθαι, τότε κινεῖσθαι.

LXXIV (75). *Φασὶ δὲ καὶ περὶ Παφλαγονίαν τοὺς ὀρυκτοὺς γίνεσθαι ἰχθῦς κατὰ βάθους, τούτους δὲ τῇ ἀρετῇ ἀγαθούς, οὔτε ὑδάτων φανερῶν πλησίον ὄντων οὔτε ποταμῶν ἐπιρρεόντων, ἀλλ' αὐτῆς ζωογονούσης τῆς γῆς.*

LXXV (76). *Τὰς ἐν Ἠπείρῳ ἐλάφους κατορύττειν φασὶ τὸ δεξιὸν κέρας, ὅταν ἀποβάλωσι, καὶ εἶναι πρὸς πολλὰ χρήσιμον.*

LXXVI (78). *Καὶ τὴν λύγκα δέ φασι τὸ οὖρον κατακαλύπτειν διὰ τὸ πρὸς ἄλλα τε χρήσιμον εἶναι καὶ τὰς σφραγῖδας.*

LXXVII. *Φασὶ δὲ καὶ τὴν φώκην ἐξεμεῖν τὴν πυτίαν, ὅταν ἁλίσκηται· εἶναι δὲ φαρμακῶδες καὶ τοῖς ἐπιλήπτοις χρήσιμον.*

LXXVIII (79). *Λέγεται δὲ περὶ τὴν Ἰταλίαν ἐν*

1. *δὲ* om. EFHvulg. || 2. *ποτε κατὰ τοῦτον τὸν τόπον ἀναξ.* G.
LXXIV. Theophr. l. l. || 11. *πλησίων* Ald. 2.
LXXV. Arist. hist. an. 9, 6. Theophr. ap. Phot. bibl. cod. 278. p. 528. b. Antig. c. 20. || 15. *ἀποβάλλωσι* EAld. 2.
LXXVI. Theophr. ap. Phot. l. l. Post sequens cap. habent CEFHvulg. || 17. *λύγα* EFHAld., *λύγγα* C, *λαρύγγα* G. || 18. *καλύπτειν* C. || *χρύσιμον* G.
LXXVII. Theophr. l. l. Antig. c. 20. Trophilus ap. Stob. floril. 100, 23. || 20. *φώνην* F. || 21. *πιτύαν* EFHvulg. || 22. *ἐπιληπτικοῖς* C.

τῷ Κιρκαίῳ ὄρει φάρμακόν τι φύεσθαι θανάσιμον, ὃ τοιαύτην ἔχει τὴν δύναμιν ὥστε, ἂν προσρανθῇ τινι, παραχρῆμα πίπτειν ποιεῖ, καὶ τὰς τρίχας τὰς ἐν τῷ σώματι ἀπομαδᾶν, καὶ τὸ σύνολον τοῦ σώματος διαρρεῖν τὰ μέλη, ὥστε τὴν ἐπιφάνειαν τοῦ σώματος εἶναι τῶν ἀπολλυμένων ἐλεεινήν. τοῦτο δέ φασι μέλλοντας διδόναι Κλεωνύμῳ τῷ Σπαρτιάτῃ Αὖλον τὸν Πευκέστιον καὶ Γάϊον φωραθῆναι, καὶ ἐξετασθέντας ὑπὸ Ταραντίνων θανατωθῆναι.

LXXIX (80). Ἐν τῇ Διομηδείᾳ νήσῳ, ἣ κεῖται ἐν τῷ Ἀδρίᾳ, φασὶν ἱερόν τι εἶναι τοῦ Διομήδους θαυμαστόν τε καὶ ἅγιον, περὶ δὲ τὸ ἱερὸν κύκλῳ περικαθῆσθαι ὄρνιθας μεγάλους τοῖς μεγέθεσι, καὶ ῥύγχη ἔχοντας μεγάλα καὶ σκληρά. τούτους λέγουσιν, ἐὰν μὲν Ἕλληνες ἀποβαίνωσιν εἰς τὸν τόπον, ἡσυχίαν ἔχειν, ἐὰν δὲ τῶν βαρβάρων τινὲς τῶν περιοίκων, ἀνίπτασθαι καὶ αἰωρουμένους καταράσσειν αὐτοὺς εἰς τὰς κεφαλὰς αὐτῶν, καὶ τοῖς ῥύγχεσι τιτρώσκοντας ἀποκτείνειν. μυθεύεται δὲ τούτους γενέσθαι ἐκ τῶν ἑταίρων τῶν τοῦ Διομήδους, ναυαγησάντων μὲν αὐτῶν περὶ τὴν νῆσον, τοῦ δὲ Διομήδους δολοφονηθέντος ὑπὸ τοῦ Αἰνέου τοῦ τότε βασιλέως τῶν τόπων ἐκείνων γενομένου.

LXXVIII. 1. κιρκαίω EFAld. || 2. περανθῇ τινι παραυτίκα πίπτειν ποιεῖν EFAld. 1. qui et habet parvam lacunam inter ἂν et περανθῇ, Ald. 2. ἐντὸς περανθῇ. interpolata esse censet Heyn. || 4. ἀπομαδεῖν G. || διαρρεῖν G. || 6. ἀπολλυμμένων Ald. 1. || ἐλεεινόν EF. || 7. ἄρουν re. G, παῦλον EFHvulg. || πευκέντιον G. || 8. ἀναστάντας C.

LXXIX. Aelian. hist. an. 1, 1. Antig. c. 192. Plin. 10, 44. || 10. διομηδία C. || 12. τι CEF. || 13. μεγάλας C. || ῥύγχα ἔχοντες μεγάλην καὶ σκληρὰν C. || 15. πόντον EF. || 17. αἰρομένους EFAld. || 19. ἑταίρων τῶν om. L. || τῶν ante τοῦ om. EFHvulg. || 21. δὲ om. G. || 21. αἰνείου G, Δαύνου Heyn.

LXXX (81). *Παρὰ τοῖς Ὀμβρικοῖς φασι τὰ βοσκήματα τίκτειν τρὶς τοῦ ἐνιαυτοῦ, καὶ τοὺς καρποὺς αὐτοῖς τὴν γῆν πολλαπλασίους ἀνίεσθαι τῶν καταβαλλομένων· εἶναι δὲ καὶ τὰς γυναῖκας πολυγόνους καὶ σπανίως ἓν τίκτειν, τὰς δὲ πλείστας δύο καὶ τρία.*

LXXXI (82). *Ἐν ταῖς Ἠλεκτρίσι νήσοις, αἳ κεῖνται ἐν τῷ μυχῷ τοῦ Ἀδρίου, φασὶν εἶναι δύο ἀνδριάντας ἀνακειμένους, τὸν μὲν κασσιτέρινον, τὸν δὲ χαλκοῦν, εἰργασμένους τὸν ἀρχαῖον τρόπον. λέγεται δὲ τούτους Δαιδάλου εἶναι ἔργα, ὑπόμνημα τῶν πάλαι, ὅτε Μίνω φεύγων ἐκ Σικελίας καὶ Κρήτης εἰς τούτους τοὺς τόπους παρέβαλε. ταύτας δὲ τὰς νήσους φασὶ προκεχωκέναι τὸν Ἠριδανὸν ποταμόν. ἔστι δὲ καὶ λίμνη, ὡς ἔοικε, πλησίον τοῦ ποταμοῦ, ὕδωρ ἔχουσα θερμόν· ὀσμὴ δ' ἀπ' αὐτῆς βαρεῖα καὶ χαλεπὴ ἀποπνεῖ, καὶ οὔτε ζῷον οὐδὲν πίνει ἐξ αὐτῆς οὔτε ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει καὶ ἀποθνήσκει. ἔχει δὲ τὸν μὲν κύκλον σταδίων διακοσίων, τὸ δὲ εὖρος ὡς δέκα. μυθεύουσι δὲ οἱ ἐγχώριοι Φαέθοντα κεραυνωθέντα πεσεῖν εἰς ταύτην τὴν λίμνην. εἶναι δ' ἐν αὐτῇ αἰγείρους πολλάς, ἐξ ὧν ἐκπίπτειν τὸ καλούμενον ἤλεκτρον. τοῦτο δὲ λέγουσιν ὅμοιον εἶναι κόμμι, ἀποσκληρύνεσθαι δὲ ὡσανεὶ λίθον, καὶ συλλεγόμενον ὑπὸ τῶν ἐγχωρίων διαφέρεσθαι εἰς*

LXXX. Steph. Byz. s. v. *Ὀμβρικοί*. || 2. *τρὶς* ante *τίκτειν* EFvulg., om. C. || 5. *σπανίους* pr. G.

LXXXI. Sotion. c. 31. Steph. Byz. s. v. *Ἠλεκτρίδες νῆσοι*. || 7. *ἀδρία* CG, *ἀνδρίου* E. || 11. *ὅτι* G. || *μίνως* EF. || *φυγὼν ἐκ τῆς σ.* G. || 12. *προσκεχωκέναι* G. || 13. *ἔτι δὲ καὶ* G, *ἔτι δὲ* EFHvulg., *ἔστι δὲ* L. || *ὡς* om. vulg. || 14. *καὶ ὕδωρ* C. || 15. *χαλεπὸν* Cvulg. || 16. *ἀπ'* pr. C. || *ὀρνέων* Ald. 2. || 17. *ἔχει*] *ἔστι* rc. G. || 18. *τριακοσίων* G. || *ἕως* EFvulg., *ὡσεὶ* G. || *μηθεύουσι* F. || *δὲ καὶ οἱ* G. || 20. *αὐτῷ* G. || 21. *τοῦτο*] *οἱ* CEFvulg. || 22. *διὰ τὸ ἀποσκλ.* omisso *δὲ* CEFvulg.

τοὺς Ἕλληνας. εἰς ταύτας οὖν τὰς νήσους Δαίδαλόν φασιν ἐλθεῖν, καὶ κατασχόντα αὐτὰς ἀναθεῖναι ἐν μιᾷ αὐτῶν τὴν αὑτοῦ εἰκόνα, καὶ τὴν τοῦ υἱοῦ Ἰκάρου ἐν τῇ ἑτέρᾳ. ὕστερον δ' ἐπιπλευσάντων ἐπ' αὐτοὺς Πελασγῶν τῶν ἐκπεσόντων ἐξ Ἄργους φυγεῖν τὸν Δαίδαλον καὶ ἀφικέσθαι εἰς Ἴκαρον τὴν νῆσον.

LXXXII (83). Ἐν τῇ Σικελίᾳ περὶ τὴν καλουμένην Ἔνναν σπήλαιόν τι λέγεται εἶναι, περὶ ὃ κύκλῳ πεφυκέναι φασὶ τῶν τε ἄλλων ἀνθέων πλῆθος ἀνὰ πᾶσαν ὥραν, πολὺ δὲ μάλιστα τῶν ἴων ἀπέραντόν τινα τόπον συμπεπληρῶσθαι, ἃ τὴν σύνεγγυς χώραν εὐωδίας πληροῖ, ὥστε τοὺς κυνηγοῦντας, τῶν κυνῶν κρατουμένων ὑπὸ τῆς ὀδμῆς, ἐξαδυνατεῖν τοὺς λαγὼς ἰχνεύειν. διὰ δὲ τούτου τοῦ χάσματος ἀσυμφανής ἐστιν ὑπόνομος, καθ' ὃν φασι τὴν ἁρπαγὴν ποιήσασθαι τὸν Πλούτωνα τῆς Κόρης. εὑρίσκεσθαι δέ φασιν ἐν τούτῳ τῷ τόπῳ πυροὺς οὔτε τοῖς ἐγχωρίοις ὁμοίους οἷς χρῶνται οὔτε ἄλλοις ἐπεισάκτοις, ἀλλ' ἰδιότητά τινα μεγάλην ἔχοντας. καὶ τούτῳ σημειοῦνται τὸ πρώτως παρ' αὐτοῖς φανῆναι πύρινον καρπόν. ὅθεν καὶ τῆς Δήμητρος ἀντιποιοῦνται, φάμενοι παρ' αὐτοῖς τὴν θεὸν γεγονέναι.

LXXXIII (84). Ἐν Κρήτῃ λύκους καὶ ἄρκτους τούς τ' ἔχεις, ὁμοίως δὲ καὶ τὰ παραπλήσια τούτοις

2. φησιν E. || ἀναθῆναι EF. || 3. κάρου E. || ἐν τῇ ἑτέρᾳ om. CEFGAld. || 4. δὲ vulg. || ἐπ' αὐτοὺς om. CEFvulg. || πελασγῶν τῶν ἐκπεσ. om. C.

LXXXII. Diod. Sic. 5, 3. || 7. ἐν τῇ καλουμένῃ CFL, τῇ καλουμένῃ Evulg. || 8. ἔνναν rc. G, αἴτνη CEFvulg. || ὃ] δὲ G. || 10. ἀπέρατόν Ald. || 12. κενῶν EF. || 16. δὲ om. C. || 18. ἐπισάκτοις E. || 19. τοῦτο E. || τῷ EFCrc.Ald. || πρῶτον vulg., πρώτους Ald. 1. || 20. τῆς om C. || Δήμητρος] δη EF.

LXXXIII. Ael. 5, 2. Antig. c. 10. || 23. τούς τ'] οὔτ' C.

θηρία οὔ φασι γίνεσθαι διὰ τὸ τὸν Δία γενέσθαι ἐν αὐτῇ.

LXXXIV (85). Ἐν τῇ θαλάσσῃ τῇ ἔξω Ἡρακλείων στηλῶν φασιν ὑπὸ Καρχηδονίων νῆσον εὑρεθῆναι ἐρήμην, ἔχουσαν ὕλην τε παντοδαπὴν καὶ ποταμοὺς πλωτούς, καὶ τοῖς λοιποῖς καρποῖς θαυμαστήν, ἀπέχουσαν δὲ πλειόνων ἡμερῶν πλοῦν· ἐν ᾗ ἐπιμισγομένων τῶν Καρχηδονίων πολλάκις διὰ τὴν εὐδαιμονίαν, ἐνίων γε μὴν καὶ οἰκούντων, τοὺς προεστῶτας τῶν Καρχηδονίων ἀπείπασθαι θανάτῳ ζημιοῦν τοὺς εἰς αὐτὴν πλευσομένους, καὶ τοὺς ἐνοικοῦντας πάντας ἀφανίσαι, ἵνα μὴ διαγγέλλωσι, μηδὲ πλῆθος συστραφὲν ἐπ' αὐτῶν ἐπὶ τὴν νῆσον κυρίας τύχῃ καὶ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν ἀφέληται.

LXXXV (86). Ἐκ τῆς Ἰταλίας φασὶν ἕως τῆς Κελτικῆς καὶ Κελτολιγύων καὶ Ἰβήρων εἶναί τινα ὁδὸν Ἡράκλειαν καλουμένην, δι' ἧς ἐάν τε Ἕλλην ἐάν τε ἐγχώριός τις πορεύηται, τηρεῖσθαι ὑπὸ τῶν παροικούντων, ὅπως μηδὲν ἀδικηθῇ· τὴν γὰρ ζημίαν ἐκτίνειν καθ' οὓς ἂν γένηται τὸ ἀδίκημα.

LXXXVI (87). Φασὶ δὲ παρὰ τοῖς Κελτοῖς φάρμακον ὑπάρχειν τὸ καλούμενον ὑπ' αὐτῶν τοξικόν· ὃ

1. φασιν Ald. || τὸ om. EAld.

LXXXIV. Diod. Sic. 5, 19. || 5. ἔρημον G. || παντοδαπῇ EFAld. || 6. καρποῖς om. L. || θαυμαστὸν EF. || 7. πλοῦν om. CEFvulg. || 8. πλεονάκις CEFvulg. || 9. ἐνοικούντων Heyn. || 10. θανάτῳ ζημιοῦν delet Heyn. θ. ζημιοῦντας St. || 11. πλεῖν προθυμουμένους rc. G. || ἀφεῖναι EFAld. || 12. διατελῶσι EFAld. || ἐπ' αὐτῶν aut certe ἐπ' deleri vult Heyn. || 13. κυρείας G.

LXXXV. cf. Nicol. Dam. fr. 4. || 16. κελτολιγύων EFHAld. καὶ Κελτ. καὶ Ἰβ. p. gloss. habet Heyn. || 18. παρακολουθούντων EF. || 20. οὗ Ald. || ἂν om. vulg.

LXXXVI. Plin. 25,5. 27, 11. Gell. 17,15. || 22. ξενικὸν EFAld.

λέγουσιν οὕτω ταχεῖαν ποιεῖν τὴν φθοράν, ὥστε τῶν Κελτῶν τοὺς κυνηγοῦντας, ὅταν ἔλαφον ἢ ἄλλο τι ζῶον τοξεύσωσιν, ἐπιτρέχοντας ἐκ σπουδῆς ἐκτέμνειν τῆς σαρκὸς τὸ τετρωμένον πρὸ τοῦ τὸ φάρμακον διαδοῦναι, ἅμα μὲν τῆς προσφορᾶς ἕνεκα, ἅμα δὲ ὅπως μὴ σαπῇ τὸ ζῶον. εὑρῆσθαι δὲ τούτῳ λέγουσιν ἀντιφάρμακον τὸν τῆς δρυὸς φλοιόν· οἱ δ' ἕτερόν τι φύλλον, ὃ καλοῦσι κοράκιον διὰ τὸ κατανοηθῆναι ὑπ' αὐτῶν κόρακα, γευσάμενον τοῦ φαρμάκου καὶ κακῶς διατιθέμενον, ἐπὶ τὸ φύλλον ὁρμήσαντα τοῦτο καὶ καταπιόντα παύσασθαι τῆς ἀλγηδόνος.

LXXXVII (88). *Ἐν τῇ Ἰβηρίᾳ λέγουσι τῶν δρυμῶν ἐμπρησθέντων ὑπό τινων ποιμένων, καὶ τῆς γῆς διαθερμανθείσης ὑπὸ τῆς ὕλης, φανερῶς ἀργύρῳ ῥεῦσαι τὴν χώραν, καὶ μετὰ χρόνον σεισμῶν ἐπιγενομένων καὶ τῶν τόπων ῥαγέντων παμπληθὲς συναχθῆναι ἀργύριον, ὃ δὴ καὶ τοῖς Μασσαλιώταις πρόσοδον ἐποίησεν οὐ τὴν τυχοῦσαν.*

LXXXVIII (89). *Ἐν ταῖς Γυμνησίαις ταῖς κειμέναις νήσοις κατὰ τὴν Ἰβηρίαν, ἃς μετὰ τὰς λεγομένας ἑπτὰ μεγίστας λέγουσιν εἶναι, φασὶν ἔλαιον μὴ γίνεσθαι ἐξ ἐλαιῶν, ἐκ δὲ τῆς τερμίνθου κομιδῇ πολὺ καὶ εἰς πάντα ἁρμόττον.* (90) *λέγουσι δὲ οὕτω τοὺς οἰκοῦντας*

3. *τοξεύωσιν* G, *τοξεύσουσιν* L. || 4. *πρὸς τὸ τὸ φάρμακον μὴ διαδοῦναι* CEFvulg. *τὸ* alterum om. Ald. *διαδῦναι* Sylb. || 5. *τῆς*] *τοῖς* Ald. || 7. *ὀφλοιὸν* G. || 9. *τοῦ — διατιθέμενον* om. C. || *ἐπὶ τὸ φύλλον* om. G. || 10. *ὁρούσαντα* CG. || *καὶ καταπιόντα τοῦτο* G.

LXXXVII. Strab. 3. p. 147. || 16. *παμπληθῆ* rc. C. || *συναχθῆναι* om. C. || *ἄργυρον* CL.

LXXXVIII. Diod. Sic. 5, 17. || 19. *γυμνησίας* L, *γυμνασίαις* vulg. || 20. *ἰβηρίαν μετὰ τὰς λεγομένας ἑπτὰ αἳ μέγισται δοκοῦσιν* (*δοκοῦσι* Ald. 2.) *εἶναι* CEFvulg. *μετὰ — ἑπτὰ* aliena ab h. l. censet Heyn. || 22. *τερβίνθου* L. || *κομιδῇ* om. C.

αὐτὰς Ἴβηρας καταγύνους εἶναι, ὥστε ἀντὶ ἑνὸς σώματος θηλυκοῦ διδόναι τοῖς ἐμπόροις τέτταρα καὶ πέντε σώματα ἄρρενα. στρατευόμενοι δὲ παρὰ Καρχηδονίοις τοὺς μισθοὺς ὅταν λάβωσιν, ἄλλο μὲν, ὡς ἔοικεν, οὐδὲν ἀγοράζουσι, γυναῖκας δέ. οὐ γὰρ χρυσίον οὐδὲ ἀργύριον ἔξεστι παρ' αὐτοῖς οὐδένα ἔχειν. ἐπιλέγεται δέ τι τοιοῦτον ἐπὶ τῷ κωλύειν χρήματα εἰσάγειν αὐτούς, ὅτι τὴν στρατείαν Ἡρακλῆς ἐποιήσατο ἐπὶ τὴν Ἰβηρίαν διὰ τοὺς τῶν ἐνοικούντων πλούτους.

LXXXIX (91). *Ἐν τῇ τῶν Μασσαλιωτῶν χώρᾳ περὶ τὴν Λιγυστικήν φασιν εἶναί τινα λίμνην, ταύτην δὲ ἀναζεῖν καὶ ὑπερχεῖσθαι, καὶ τοσούτους ἰχθῦς ἐκβάλλειν τὸ πλῆθος, ὥστε μὴ πιστεύειν. ἐπειδὰν δὲ οἱ ἐτησίαι πνεύσωσιν, ἐπιχώννυσθαι τὸ ἔδαφος ἐπ' αὐτήν, καὶ τοιοῦτον κονιορτὸν γίνεσθαι αὐτόθι, καὶ ἀποστερεοῦσθαι τὴν ἐπιφάνειαν αὐτῆς ὡσανεὶ ἔδαφος. τοῖς δὲ τριόδουσι διακόπτοντας τοὺς ἐγχωρίους ἑτοίμως ὅσους ἂν βούλωνται ἰχθύας ἐξαίρειν ἐξ αὐτῆς.*

XC (92). *Λέγεται δέ τινας τῶν Λιγύων οὕτω σφενδονᾶν εὖ ὥστε, ὅταν πλείους ἴδωσιν ὄρνιθας, διερεθίζεσθαι πρὸς ἀλλήλους, ποῖον ἕκαστος παρασκευάζεται βαλεῖν, ὡς ἑτοίμως ἁπάντων τευξομένων.*

1. *κατὰ γυναῖκας* EFGrc. Ald. || 2. *θηλικοῦ* G. || 4. *ὡς ἔοικεν* post *οὐδὲν* C. om. EFAld. || 6. *δὲ*] *οὖν* CEF. || 7. *τὸ* EF. || *εἰσάγειν*] *ἔχειν* rc. G. || 8 *ὁ ἡρακλῆς* C. || 9. *τῶν ἐνοικούντων*] *τούτων* rc. G, *τ. ἐνοικούντων* Ald. 1.

LXXXIX. Strab. 4. p. 182. Ath. 8. p. 332. Mela 2, 5. || 11. *λιγγυστικὴν* EF. *περὶ τὴν λιγ.* p. gloss. habet Heyn. || 12. *ὑπερκεῖσθαι* Ald. 2. || 14. *αὐτῆς* CEFvulg. || 15. *καὶ α.τ.*] f. *ὥστ' ἀπ.* || 16. *ἐπίφασιν* L. || *εἰς ἔδαφος* L. || 18. *ἐξαιρεῖν* Sylb. || *ἐξ αὐτοῦ* L.

XC. 19. *λιγυστίων* CEFvulg. || 20. *εὖ* om. CEFvulg. || *διαρεθίζεσθαι* Ald., *διερίζεσθαι* vulg. || 22. *λαβεῖν* EFAld.

XCI (93). *Ἴδιον δέ φασι καὶ τοῦτο παρ' αὐτοῖς εἶναι· αἱ γυναῖκες ἅμα ἐργαζόμεναι τίκτουσιν, καὶ τὸ παιδίον ὕδατι περικλύσασαι παραχρῆμα σκάπτουσι καὶ σκάλλουσι καὶ τἆλλα οἰκονομοῦσιν ἃ καὶ μὴ τικτούσαις αὐταῖς ἦν πρακτέον.*

XCII (94). *Θαῦμα δὲ καὶ τοῦτο παρὰ τοῖς Λίγυσι· φασὶ γὰρ παρ' αὐτοῖς ποταμὸν εἶναι, οὗ τὸ ῥεῦμα αἴρεται μετέωρον καὶ ῥεῖ, ὥστε τοὺς πέραν μὴ ὁρᾶσθαι.*

XCIII (95). *Ἐν δὲ τῇ Τυρρηνίᾳ λέγεταί τις νῆσος Αἰθάλεια ὀνομαζομένη, ἐν ᾗ ἐκ τοῦ αὐτοῦ μετάλλου πρότερον μὲν χαλκὸς ὠρύσσετο, ἐξ οὗ φασι πάντα κεχαλκευμένα παρ' αὐτοῖς εἶναι, ἔπειτα μηκέτι εὑρίσκεσθαι, χρόνου δὲ διελθόντος πολλοῦ φανῆναι ἐκ τοῦ αὐτοῦ μετάλλου σίδηρον, ᾧ νῦν ἔτι χρῶνται Τυρρηνοὶ οἱ τὸ καλούμενον Ποπλώνιον οἰκοῦντες.*

XCIV (96). *Ἔστι δέ τις ἐν τῇ Τυρρηνίᾳ πόλις Οἰναρέα καλουμένη, ἣν ὑπερβολῇ φασιν ὀχυρὰν εἶναι· ἐν γὰρ μέσῃ αὐτῇ λόφος ἐστὶν ὑψηλὸς, τριάκοντα σταδίους ἀνέχων ἄνω, καὶ κάτω ὕλην παντοδαπὴν καὶ ὕδατα. φοβουμένους οὖν τοὺς ἐνοικοῦντας λέγουσι μή τις τύραννος γένηται προΐστασθαι αὐτῶν τοὺς ἐκ τῶν*

XCI. Strab. 3. p. 165. ‖ 1. *αἴδιον* E. ‖ 3. *περικλείσασαι* F. ‖ 4. *σκάλλουσι* Ald. ‖ *καὶ* post *ἃ* et *αὐταῖς* om. CEFvulg.

XCII. Strab. 5. p. 222. ‖ 6. *θαυμάσιον* pr. G.

XCIII. Strab. 5 p. 223. ‖ 10. *Θάλεια* CEFGAld. ‖ 11. *ὀρύσσεται* L. ‖ 12. *αὐτοῦ* EFAld. ‖ *ἔπειτα*] *καὶ* rc. G. ‖ 13. *διεληλυθότος* C ‖ 14. *ἔτι* om. C. ‖ 15. *οἱ* ante *Τυρρηνοὶ* C, om. EFGAld. *τυρρηνοὶ* Ald. ‖ *ποπάνιον* G, *πιπάνιον* C, *πωπάνιον* EFHLAld.

XCIV. Strab. 5. p. 223. Steph. Byz s. v. *Οἴνα.* ‖ 16. *τῇ* om. CEFvulg. ‖ 17. *Οὐλατέρρα* Victor. ‖ *καθ' ὑπερβολὴν* quidam codd. sec. Sylb., *ὑπερβολὴν* Ald 2. ‖ 18. *ὕψος τρ. στ. ἔχων* rc. G. ‖ 19 *κάτω* om. CEFAld. ‖ *παντοδαπῇ* CEFvulg. ‖ 20. *ὕδωρ* C. ‖ 21. *τύραννος* Ald. 1. ‖ *πρὸς κτᾶσθαι* L., *προϊστάναι* Vict. Heyn.

οἰκετῶν ἠλευθερωμένους· καὶ οὗτοι ἄρχουσιν αὐτῶν· κατ᾽ ἐνιαυτὸν δ᾽ ἄλλους ἀντικαθιστάναι τοιούτους

XCV (97). *Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν πολυχρονιωτάτην γενομένην παρθένον διαμεῖναί φασιν, οὖσαν μὲν Ἐρυθραίαν, ὑπό τινων δὲ τὴν Ἰταλίαν κατοικούντων Κυμαίαν, ὑπὸ δέ τινων Μελάγκραιραν καλουμένην. τοῦτον δὲ τὸν τόπον λέγεται κυριεύεσθαι ὑπὸ Λευκανῶν.* (98) *εἶναι δὲ λέγουσιν ἐν ἐκείνοις τοῖς τόποις περὶ τὴν Κύμην ποταμόν τινα Κετὸν ὀνομαζόμενον, εἰς ὃν φασι τὸν πλείω χρόνον τὸ ἐμβληθὲν πρῶτον περιφύεσθαι καὶ τέλος ἀπολιθοῦσθαι.*

XCVI (99). *Ἀλκιμένει τῷ Συβαρίτῃ φασὶ κατασκευασθῆναι ἱμάτιον τοιοῦτον τῇ πολυτελείᾳ, ὥστε προτίθεσθαι αὐτὸ ἐπὶ Λακινίῳ τῇ πανηγύρει τῆς Ἥρας, εἰς ἣν συμπορεύονται πάντες Ἰταλιῶται, τῶν τε δεικνυμένων μάλιστα πάντων ἐκεῖνο θαυμάζεσθαι· οὗ φασι κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. ἦν δ᾽ αὐτὸ μὲν ἁλουργές, τῷ δὲ μεγέθει πεντεκαιδεκάπηχυ, ἑκατέρωθεν δὲ διείληπτο ζῳδίοις ἐνυφασμένοις, ἄνωθεν μὲν*

2. *ἄλλοις* EFAld. ‖ *ἀντικαθίστανται* CEFvulg. ‖ *τοιούτοις* Ald.

XCV. 5. *γινομένην* EAld. ‖ 6. *οὖσαν ἐρυθραίαν* G. ‖ 7. *οἰκούντων* CL. ‖ 8. *μελάγχραιναν* C, *μελάγχραιαν* EF, *μελάχραιναν* vulg. ‖ 9. *λευκαδίων* CEFvulg ‖ 10. *τινὰ ποταμὸν περὶ τὴν κύμην* E. ‖ 11. *κέταν* pr G. *σκετὸν* rc., *καιέτ πως* C, *κυκέλπαν* Lpr., *μακέλπαν* quid. codd. sec. Steph. ‖ *τὸν πλείω χρόνον* om. CEFvulg ‖ 12. *φύεσθαι* G

XCVI. Athen. 12. p. 541. ‖ 14. *ἀντιμένει* G, *Ἀλκισθένει* vulg. ‖ 15. *προστίθεσθαι αὐτῇ* EF. ‖ 16. *ἐπὶ τῇ λακινίῳ τῇ* EF, *ἐπὶ τῇ ἐν Λακ. παν.* vulg., *ἐπὶ Λακινίου ἐν τῇ* Ath. ‖ *τῆς Ἥρας* om. CL. ‖ 17. *τῶν δὲ* CG, *καὶ τῶν* Ath. ‖ 21. *δὲ* om. EFvulg.

Σούσοις, κάτωθεν δὲ Πέρσαις· ἀνὰ μέσον δὲ ἦν Ζεύς, Ἥρα, Θέμις, Ἀθηνᾶ, Ἀπόλλων, Ἀφροδίτη. παρὰ δ' ἑκάτερον πέρας Ἀλκιμένης ἦν, ἑκατέρωθεν δὲ Σύβαρις.

XCVII (100). *Περὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν φασὶν ἔκ τινος τόπου, ἐν ᾧ συνέβη γενέσθαι, ὡς μυθολογοῦσιν, Ἡρακλεῖ πρὸς γίγαντας μάχην, ῥεῖν ἰχῶρα πολὺν καὶ τοιοῦτον ὥστε διὰ τὸ βάρος τῆς ὀσμῆς ἄπλουν εἶναι τὴν κατὰ τὸν τόπον θάλασσαν. λέγουσι δὲ πολλαχοῦ τῆς Ἰταλίας Ἡρακλέους εἶναι πολλὰ μνημόσυνα, ἐν ταῖς ὁδοῖς ἃς ἐκεῖνος ἐπορεύθη.* (101) *περὶ δὲ Πανδοσίαν τῆς Ἰαπυγίας ἴχνη τοῦ θεοῦ δείκνυται, ἐφ' ἃ οὐδενὶ ἐπιβατέον.*

XCVIII (102). *Ἔστι καὶ περὶ ἄκραν Ἰαπυγίαν λίθος ἀμαξιαῖος, ὃν ὑπ' ἐκείνου ἀρθέντα μετατεθῆναί φασιν, ἀφ' ἑνὸς δὲ δακτύλου κινεῖσθαι συμβέβηκεν.*

XCIX (103). *Ἐν τῇ τῶν Ὀρχομενίων πόλει τῇ ἐν Βοιωτίᾳ φανῆναί φασιν ἀλώπεκα, ἣν κυνὸς διώκοντος εἰσδῦναι εἴς τινα ὑπόνομον, καὶ τὸν κύνα συνεισδῦναι αὐτῇ, καὶ ὑλακτοῦντα ἦχον μέγαν ποιεῖν ὡσανεὶ εὐρυχωρίας τινὸς ὑπαρχούσης αὐτῷ· τοὺς δὲ κυνηγέτας ἔννοιαν λαβόντας δαιμονίαν, ἀναρρήξαντας τὴν εἴσδυσιν συνῶσαι καὶ αὐτούς· ἰδόντας δὲ διά τινων ὀπῶν εἰσερ-*

1. *Σουσίοις* Heyn. ‖ 2. *δὲ* vulg. ‖ 3. *ἀλκισθένης* Gvulg, *ἀντισθένης* CEFHLAld. ‖ *ἔνθεν ἑκατέρου* CGL, *ἔνθα ἑκατέρου* EF.

XCVII. Strab. 6. p. 281. ‖ 7. *ἰχόρα* C. ‖ 9. *πόντον* G. ‖ 11. *δὲ* om. EFvulg.

XCVIII. 15. *ἁμαξιαῖος* EAld. ‖ 16. *δὲ* om. C.

XCIX. 17. *Ὀρχομενείων* Ald. ‖ 18. *βοιωτοῖς* L, *βιωτοῖς* F, *βιωτῷ* E. ‖ *ἣν* om. G. ‖ 19. *δ' εἰς* G. ‖ *εἰσδύναι* C. ‖ 21. *αὐτῆς* E, *αὐτοῖς* CFvulg, *αὐτοῦ* Sylb. ‖ 22. *ἔννοιάν τινα λαβ.* CL. ‖ *δαιμονίαν* ex mg. illatum putat Heyn. ‖ 23. *συνῶσαι* Ald. ‖ *ἰδόντες* Ald.

χόμενον ἔσω τὸ φῶς, εὐσυνόπτως τὰ λοιπὰ θεάσασθαι, καὶ ἐλθόντας ἀπαγγεῖλαι τοῖς ἄρχουσιν.

C (104). *Ἐν τῇ Σαρδοῖ τῇ νήσῳ κατασκευάσματά φασιν εἶναι εἰς τὸν Ἑλληνικὸν τρόπον διακείμενα τὸν ἀρχαῖον, ἄλλα τε πολλὰ καὶ καλὰ καὶ θόλους περισσοῖς τοῖς ῥυθμοῖς κατεξεσμένους· τούτους δ' ὑπὸ Ἰολάου τοῦ Ἰφικλέους κατασκευασθῆναι, ὅτε τοὺς Θεσπιάδας τοὺς ἐξ Ἡρακλέους παραλαβὼν ἔπλευσεν εἰς ἐκείνους τοὺς τόπους ἐποικήσων, ὡς κατὰ συγγένειαν αὐτῷ τὴν Ἡρακλέους προσήκοντας διὰ τὸ πάσης τῆς πρὸς ἑσπέραν κύριον Ἡρακλέα γενέσθαι. αὕτη δὲ ἡ νῆσος, ὡς ἔοικεν, ἐκαλεῖτο μὲν πρότερον Ἰχνοῦσσα διὰ τὸ ἐσχηματίσθαι τῇ περιμέτρῳ ὁμοιότατα ἀνθρωπίνῳ ἴχνει,* (105) *εὐδαίμων δὲ καὶ πάμφορος ἔμπροσθεν λέγεται εἶναι· τὸν γὰρ Ἀρισταῖον, ὅν φασι γεωργικώτατον εἶναι ἐπὶ τῶν ἀρχαίων, τοῦτον αὐτῶν ἄρξαι μυθολογοῦσιν, ὑπὸ μεγάλων ὀρνέων ἔμπροσθεν καὶ πολλῶν κατεχομένων. νῦν μὲν οὖν οὐκέτι φέρει τοιοῦτον οὐδὲν διὰ τὸ κυριευθεῖσαν ὑπὸ Καρχηδονίων ἐκκοπῆναι πάντας τοὺς χρησίμους εἰς προσφορὰν καρπούς, καὶ θάνατον τὴν ζημίαν τοῖς ἐγχωρίοις τετάχθαι, ἐάν τις τῶν τοιούτων τι ἀναφυτεύῃ.*

CI (106). *Ἐν μιᾷ τῶν ἑπτὰ νήσων τῶν Αἰόλου*

1. *τὸ* om. EFvulg. ‖ *λοιπὸν* F.

C. Diod. Sic. 4, 29. ‖ 5. *τὸν ἄρχον* rc. C, *τὴν ἀρχὴν* G, *τῶν ἀρχαίων* EFvulg. ‖ 6. *κατεξεσμένους* G, *κατεξεασμένους* L. ‖ *δὲ* Ald. 2. ‖ 7. *ἰόλα ἰφικλέους* F, *ἰόλα εἰφικλέους* E. ‖ *ὥστε* EF, *ὅστις* Ald. ‖ 10. *προσήκουσαν* EFAld. ‖ 12. *ἴχνουσσα* G, *ἰχνοῦσα* CEFvulg. ‖ 13. *ἐσχηματίσθη* F. ‖ *ὁμοιότητα* E, *ὁμοιότητι* GAld. ‖ *ἀνθρώπων* EFGAld., *ἀνθρώπῳ* L. ‖ 14. *ἴχνει* om. EFLAld. ‖ *λέγουσιν* Ald. ‖ 16. *αὐτὸν* C, *αὐτῆς* Heyn. *τῶν τόπων τούτων* Casaub. ‖ *ἄρξασθαι* EFvulg. ‖ 18. *κατεχομένης* Heyn. ‖ 19. *κυριωθεῖσαν* C, *κυριωσθεῖσαν* L. ‖ 20. *προφορὰν* FAld. ‖ 22. *τι* om. G.

καλουμένων, η καλεῖται Λιπάρα, τάφον εἶναι μυθολογοῦσι, περὶ οὗ καὶ ἄλλα μὲν πολλὰ καὶ τερατώδη λέγουσι, τοῦτο δ' ὅτι οὐκ ἀσφαλές ἐστι προσελθεῖν πρὸς ἐκεῖνον τὸν τόπον τῆς νυκτὸς συμφωνοῦσιν· ἐξακούεσθαι γὰρ τυμπάνων καὶ κυμβάλων ἦχον γέλωτά τε μετὰ θορύβου καὶ κροτάλων ἐναργῶς. (107) λέγουσι δέ τι τερατωδέστερον γεγονέναι περὶ τὸ σπήλαιον· πρὸ ἡμέρας γὰρ ἐγκοιμηθῆναί τινα ἐν αὐτῷ οἰνωμένον, καὶ τοῦτον ὑπὸ τῶν οἰκετῶν ζητούμενον ἐφ' ἡμέρας τρεῖς διατελέσαι, τῇ δὲ τετάρτῃ εὑρεθέντα ὡς νεκρὸν ἀποκομισθῆναι ὑπὸ τῶν οἰκείων εἰς τὸν ἴδιον τάφον, καὶ τῶν νομιζομένων τυχόντα πάντων ἐξαίφνης ἀναστῆναι καὶ διηγεῖσθαι τὰ καθ' ἑαυτὸν συμβεβηκότα. τοῦτο μὲν οὖν ἡμῖν φαίνεται μυθωδέστερον· ὅμως μέντοι ἔδει μὴ παραλιπεῖν ἀμνημόνευτον αὐτὸ τῶν περὶ τὸν τόπον ἐκεῖνον τὴν ἀναγραφὴν ποιούμενον.

CII (108). *Περὶ τὴν Κύμην τὴν ἐν Ἰταλίᾳ λίμνη ἐστὶν ἡ προσαγορευομένη Ἄορνος, αὐτὴ μέν, ὡς ἔοικεν, οὐκ ἔχουσά τι θαυμαστόν· περικεῖσθαι γὰρ λέγουσι περὶ αὐτὴν λόφους κύκλῳ, τὸ ὕψος οὐκ ἐλάσσους τριῶν σταδίων, καὶ αὐτὴν εἶναι τῷ σχήματι κυκλοτερῆ, τὸ βάθος ἔχουσαν ἀνυπέρβλητον. ἐκεῖνο δὲ θαυμάσιον φαίνεται· ὑπερκειμένων γὰρ αὐτῇ πυκνῶν δένδρων, καὶ

CI. 1. μυθολογεῖν EF. ‖ 2. μὲν om. EFAld. ‖ 3. δὲ vulg. ‖ 5. τυμπάνου Ald. 2. ‖ εἶχον E. ‖ 7. δ' ἔτι F. ‖ 8. τινα κοιμηθῆναι C. ‖ οἰνωμένων Ald. 2. ‖ 12. τυχόντων Ald. 2. ‖ 15. παραλείπειν E. ‖ τῶν] τὴν C, om. EFAld. ‖ περὶ τῶν τόπων ἐκείνων vulg. ‖ 16. τὴν om. EFvulg.

CII. Antig. Car. c. 152. Sotion c. 28. Strab. 5. p. 244. Plin. 31, 2. ‖ 17. ἐν τῇ ἰταλίᾳ GL, περὶ τὴν ἰταλίαν EF, περὶ Ἰταλίαν vulg. ‖ 18. αὕτη vulg. ‖ ὡς om. L. ‖ 20. ἔλαττον CEFvulg. ἐλάττους Sylb.

τινων ἐν αὐτῇ κατακεκλιμένων, οὐδὲν ἔστιν ἰδεῖν φύλλον ἐπὶ τοῦ ὕδατος ἐφεστηκός, ἀλλ' οὕτω καθαρώτατόν ἐστι τὸ ὕδωρ, ὥστε τοὺς θεωμένους θαυμάζειν. (109) *περὶ δὲ τὴν ἀπέχουσαν ἤπειρον αὐτῆς οὐ πολὺ θερμὸν ὕδωρ πολλαχόθεν ἐκπίπτει, καὶ ὁ τόπος ἅπας καλεῖται Πυριφλεγέθων. ὅτι δὲ οὐδὲν διίπταται ὄρνεον αὐτήν, ψεῦδος· οἱ γὰρ παραγενόμενοι λέγουσι πλῆθός τι κύκνων ἐν αὐτῇ γίνεσθαι.*

CIII (110). *Φασὶ τὰς Σειρηνούσας νήσους κεῖσθαι μὲν ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας, ὃς κεῖται πρὸ τοῦ προπεπτωκότος τόπου καὶ διαλαμβάνοντος τοῖς κόλποις τόν τε περιέχοντα τὴν Κύμην καὶ τὸν διειληφότα τὴν Ποσειδωνίαν καλουμένην· ἐν ᾧ καὶ νεὼς αὐτῶν ἵδρυται καὶ τιμῶνται καθ' ὑπερβολὴν ὑπὸ τῶν περιοίκων θυσίαις ἐπιμελῶς· ὧν καὶ τὰ ὀνόματα μνημονεύοντες καλοῦσι τὴν μὲν Παρθενόπην, τὴν δὲ Λευκωσίαν, τὴν δὲ τρίτην Λίγειαν.*

CIV (111). *Λέγεται δὲ μεταξὺ τῆς Μεντορικῆς καὶ τῆς Ἰστριανῆς ὄρος τι εἶναι τὸ καλούμενον Δέλφιον, ἔχον λόφον ὑψηλόν. ἐπὶ τοῦτον τὸν λόφον ὅταν ἀναβαίνωσιν οἱ Μέντορες οἱ ἐπὶ τοῦ Ἀδρίου οἰκοῦντες,*

2. *ἐπὶ τοῦ ὕδατος φύλλον* EFvulg. ‖ *ἑστηκὸς* CEFvulg. ‖ *οὕτως* vulg. ‖ 3. *ἐστιν* Ald. 2. ‖ 4. *παρὰ* CL. ‖ *δὲ] γὰρ* G. ‖ *αὐτοῦ* Ald. ‖ 6. *αὐτὴν] ἐν αὐτῇ* EF. ‖ 7. *παραγεγενημένοι* C. ‖ *λέγουσιν* vulg. ‖ *κύκνων πλῆθός τι* CEFvulg.

CIII. Steph. Byz. s. v. *Σειρηνοῦσσαι.* ‖ 9. *σειρινούσας* EFAld. ‖ 11. *πρὸς τοῦ* L. ‖ *ὃς κεῖται πρὸ* deleri vult Salm. ‖ *πεπτωκότος* CEFvulg. ‖ 12. *δια μάνοντος* EF, *διακυμαίνοντος* vulg., *διακυμαίνοντα* Ald. ‖ *τοὺς κόλπους* St. Salm. Heyn. ‖ 13. *καλουμένην ποσειδωνίαν* EFGvulg. ‖ 14. *αὐτῶ* EF.

CIV. Strab. 7. p. 317. ‖ 18. *μὲν ῥητορικῆς* E, *μὲν ῥιτορικῆς* F. ‖ 19. *ἰστοριανῆς* EF. ‖ 21. *μέντωρες* E. ‖ *ἐπὶ* om. vulg. ‖ *ἀνδρίου* E.

ἀποθεωροῦσιν, ὡς ἔοικε, τὰ εἰς τὸν Πόντον εἰσπλέοντα πλοῖα. εἶναι δὲ καί τινα τόπον ἐν τοῖς ἀνὰ μέσον διαστήμασιν, εἰς ὃν ἀγορᾶς κοινῆς γινομένης πωλεῖσθαι παρὰ μὲν τῶν ἐκ τοῦ Πόντου ἐμπόρων ἀναβαινόντων τὰ Λέσβια καὶ Χῖα καὶ Θάσια, παρὰ δὲ τῶν ἐκ τοῦ Ἀδρίου τοὺς Κερκυραϊκοὺς ἀμφορεῖς.

CV (112). Φασὶ δὲ καὶ τὸν Ἴστρον ῥέοντα ἐκ τῶν Ἑρκυνίων καλουμένων δρυμῶν σχίζεσθαι, καὶ τῇ μὲν εἰς τὸν Πόντον ῥεῖν, τῇ δὲ εἰς τὸν Ἀδρίαν ἐκβάλλειν. σημεῖον δὲ οὐ μόνον ἐν τοῖς νῦν καιροῖς ἑωράκαμεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀρχαίων μᾶλλον, οἷον τὰ ἐκεῖ ἄπλωτα εἶναι· καὶ γὰρ Ἰάσονα τὸν μὲν εἴσπλουν κατὰ Κυανέας, τὸν δὲ ἐκ τοῦ Πόντου ἔκπλουν κατὰ τὸν Ἴστρον ποιήσασθαί φασι· καὶ φέρουσιν ἄλλα τε τεκμήρια οὐκ ὀλίγα, καὶ κατὰ μὲν τὴν χώραν βωμοὺς ὑπὸ τοῦ Ἰάσονος ἀνακειμένους δεικνύουσιν, ἐν δὲ μιᾷ τῶν νήσων τῶν ἐν τῷ Ἀδρίᾳ πολυτελὲς ἱερὸν Ἀρτέμιδος ὑπὸ Μηδείας ἱδρυμένον. ἔτι δὲ λέγουσιν, ὡς οὐκ ἂν παρέπλευσε τὰς Πλαγκτὰς καλουμένας, εἰ μὴ ἐκεῖθεν ἀπέπλει. (113) καὶ ἐν τῇ Αἰθαλείᾳ δὲ νήσῳ, τῇ κειμένῃ ἐν

1. ἀποθεωροῦσι vulg. || ὡς ἔοικε om. CEFvulg. || τόπον C. || ἐκπλέοντα G. εἰσπλέοντα — τόπον om. Ald. || 2. τινα καὶ CEFvulg. || 6. κορκυραϊκοὺς EAld.

CV. Ar. hist. an. 8, 15. Strab. 1. p. 57. Eust. ad Dion. v. 299. || 7. τὸν om. C. || 9. τόπον C. || τὴν EF. || ἐκβάλλειν om. CEFvulg. || 10. σημεῖον — εἶναι ex mg. illata putat Heyn. || σ. δὲ κακεῖνο CEFvulg. κακείνου Sylb. || 11. ἀλχαίων F, lacunam habet E, παλαιῶν vulg. || τοῦ τὰ ἐκεῖ ἄπλωτα μὴ εἶναι Casaub. || 12. κατὰ τὰς Kvulg. || 13. τὸν δὲ om. EF. || τοῦ om. Ald. || τόπου C. || ἄπλουν EF. || κατὰ τὸν Ἴστρον om. C. || 14. φέρουσα Ald. 2. || τε om. CEF. || 17. νήσων τῶν et ἱερὸν om. EF, τῶν ἐν τῷ Ἀδρίᾳ νήσων vulg. || πολυτελὲς om. Bk. || 18. μειδίας EF. || 19. πλακτὰς G. || 20. ἀπέπλεε Ald. 1. || Strab. 5. p. 224. || αἰγιαλείᾳ CG, αἰγιαλία EF, αἰγιαλίᾳ Ald. || ἐπὶ EFvulg.

τῷ Τυρρηνικῷ πελάγει, ἄλλα τε δεικνύουσι μνημεῖα τῶν ἀριστέων καὶ τὸ ἐπὶ τῶν ψήφων δὲ λεγόμενον· παρὰ γὰρ τὸν αἰγιαλὸν ψήφους φασὶν εἶναι ποικίλας, ταύτας δ' οἱ Ἕλληνες οἱ τὴν νῆσον οἰκοῦντες λέγουσι τὴν χροιὰν λαβεῖν ἀπὸ τῶν στλεγγισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι· ἀπὸ ἐκείνων γὰρ τῶν χρόνων οὔτε πρότερον ἑωρᾶσθαι μυθολογοῦσι τοιαύτας ψήφους οὔθ' ὕστερον ἐπιγενομένας. ἔτι δὲ τούτων φανερώτερα σημεῖα λέγουσιν, ὅτι οὐ διὰ τῶν Συμπληγάδων ἐγένετο ὁ ἔκπλους, αὐτῷ τῷ ποιητῇ ἐν ἐκείνοις τοῖς τόποις μάρτυρι χρώμενοι. τὴν γὰρ δυσχέρειαν τοῦ κινδύνου ἐμφανίζοντα λέγειν ὅτι οὐκ ἔστι παραπλεῦσαι τὸν τόπον·

ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.

περὶ μὲν οὖν τὰς Κυανέας οὐ λέγεται πῦρ ἀναπέμπειν, περὶ δὲ τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικελίαν, ἐφ' ἑκάτερα κειμένων τῶν τοῦ πυρὸς ἀναφυσημάτων, καὶ τῆς τε νήσου συνεχῶς καιομένης, καὶ τοῦ περὶ τὴν Αἴτνην ῥεύματος πολλάκις τὴν χώραν ἐπιδεδραμηκότος.

CVI (114). Ἐν Τάραντι ἐναγίζειν κατά τινας χρόνους φασὶν Ἀτρείδαις καὶ Τυδείδαις καὶ Αἰακίδαις καὶ Λαερτιάδαις, καὶ Ἀγαμεμνονίδαις δὲ χωρὶς θυσίαν ἐπιτελεῖν ἐν ἄλλῃ ἡμέρᾳ ἰδίᾳ, ἐν ᾗ νόμιμον εἶναι ταῖς γυναιξί, μὴ γεύσασθαι τῶν ἐκείνοις θυομένων. ἔστι δὲ

3. φασὶν εἶναι ψήφους C. || 4. δὲ vulg. || 5. στελεγγισμάτων C, στηλεγγισμάτων EFAld. 1, στελγισμάτων L. || 6. γὰρ ἐκείνων EFvulg. || 8. ἐπιγινομένας C, ἐπιγεγενημένας EFvulg. || ἔστι G. || φανερώτατα codd. || 9. συμπλογάδων EFG. || 10. ὁ om. vulg. || αὐτοῖς vulg. || ἐν] οἱ ἐν EFGvulg. || 11. μάρτυρες E. || ἐμφανίζονται EF. || 13. Odyss. 12, 67. || 14. ἀλλὸς E. || θύελλαι E. || 15. ἀνάπτειν CL. || 16. πυρὶ EF. || 17. τῶν om. G.

CVI. 22. λαερτιάδες EF. || 24. γεύεσθαι Ald.

καὶ Ἀχιλλέως νεὼς παρ' αὐτοῖς. λέγεται δὲ μετὰ τὸ παραλαβεῖν τοὺς Ταραντίνους Ἡράκλειαν τὸν τόπον καλεῖσθαι ὃν νῦν κατοικοῦσιν, ἐν δὲ τοῖς ἄνω χρόνοις τῶν Ἰώνων κατεχόντων Πλεῖον· ἔτι δὲ ἐκείνων ἔμπροσθεν ὑπὸ τῶν Τρώων τῶν κατασχόντων αὐτὴν Σίγειον ὠνομάσθαι.

CVII (115). *Παρὰ δὲ τοῖς Συβαρίταις λέγεται Φιλοκτήτην τιμᾶσθαι. κατοικῆσαι γὰρ αὐτὸν ἐκ Τροίας ἀνακομισθέντα τὰ καλούμενα Μάκαλλα τῆς Κροτωνιάτιδος, ἅ φασιν ἀπέχειν ἑκατὸν εἴκοσι σταδίων, καὶ ἀναθεῖναι ἱστοροῦσι τὰ τόξα τὰ Ἡράκλεια αὐτὸν εἰς τὸ τοῦ Ἀπόλλωνος τοῦ ἁλίου. ἐκεῖθεν δέ φασι τοὺς Κροτωνιάτας κατὰ τὴν ἐπικράτειαν ἀναθεῖναι αὐτὰ εἰς τὸ Ἀπολλώνιον τὸ παρ' αὐτοῖς. λέγεται δὲ καὶ τελευτήσαντα ἐκεῖ κεῖσθαι αὐτὸν παρὰ τὸν ποταμὸν τὸν Σύβαριν, βοηθήσαντα Ῥοδίοις τοῖς μετὰ Τληπολέμου εἰς τοὺς ἐκεῖ τόπους ἀπενεχθεῖσι καὶ μάχην συνάψασι πρὸς τοὺς ἐνοικοῦντας τῶν βαρβάρων ἐκείνην τὴν χώραν.*

CVIII (116). *Περὶ δὲ τὴν Ἰταλίαν τὴν καλουμένην Γαργαρίαν, ἐγγὺς Μεταποντίου, Ἀθηνᾶς ἱερὸν εἶναί φασιν Ἑλληνίας, ἔνθα τὰ τοῦ Ἐπειοῦ λέγουσιν ἀνακεῖσθαι ὄργανα, ἃ εἰς τὸν δούρειον ἵππον ἐποίησεν,*

1. *Herculis* Nat. d. Com. ‖ 2. *παραβαλεῖν* Casaub. Heyn. ‖ *Ταραντίους* Ald. ‖ 4. *ἰωνίων* C, *Χώνων* Cluver. ‖ *Πολίειον* Salm. ‖ 5. *Τρώων τῶν*] *πρώτων* F, *πρῶτον* Evulg. ‖ *αὐτοὺς* CL. ‖ *σίγιον* CEFAld., *Σῖριν* Holst. *Σεῖριν* Salm. ‖ 6. *ὀνομασθῆναι* C, *ὠνομασθῆναι* L.

CVII. 9. *μαλακά* CEFL, *Μύκαλλα* Bk. ‖ *κροτωνιάδος* EFvulg. ‖ 11. *αὐτῶν* CE, *αὐτοῦ* Ald. ‖ 12. *Ἀλαίου* Wessel. ‖ 13. *κατὰ* om. E. ‖ 14. *τὸ παρ' αὐτοῖς* om. EFAld. ‖ 17. *συνάψασαι* EF. ‖ 18. *τῶν βαρβάρων* om. EFAld.

CVIII. 20. *Γαργαρίαν* ABCEFGHL et vett. edd. *Καλαβρίαν* intpp. ‖ *Μεταπόντου* vulg. ‖ 21. *Εἰληνίας* Hemsterh. ‖ 22. *ὄργανα ἀνακεῖσθαι* EFvulg. ‖ *ἃ εἰς*] *οἷς* Lips. ‖ *δούριον* CEFvulg.

ἐκείνου τὴν ἐπωνυμίαν ἐπιθέντος. φανταζομένην γὰρ αὐτῷ τὴν Ἀθηνᾶν κατὰ τὸν ὕπνον ἀξιοῦν ἀναθεῖναι τὰ ὄργανα, καὶ διὰ τοῦτο βραδυτέρας τυγχάνοντα τῆς ἀναγωγῆς εἱλεῖσθαι ἐν τῷ τόπῳ, μὴ δυνάμενον ἐκπλεῦσαι· ὅθεν Ἑλληνίας Ἀθηνᾶς τὸ ἱερὸν προσαγορεύεσθαι.

CIX (117). *Λέγεται περὶ τὸν ὀνομαζόμενον τῆς Δαυνίας τόπον ἱερὸν εἶναι Ἀθηνᾶς Ἀχαΐας καλούμενον, ἐν ᾧ δὴ πελέκεις χαλκοῦς καὶ ὅπλα τῶν Διομήδους ἑταίρων καὶ αὐτοῦ ἀνακεῖσθαι.* (118) *ἐν τούτῳ τῷ τόπῳ φασὶν εἶναι κύνας, οἳ τοὺς ἀφικνουμένους τῶν Ἑλλήνων οὐκ ἀδικοῦσιν, ἀλλὰ σαίνουσιν ὥσπερ τοὺς συνηθεστάτους.* (119) *πάντες δὲ οἱ Δαύνιοι καὶ οἱ πλησιόχωροι αὐτοῖς μελανειμονοῦσι, καὶ ἄνδρες καὶ γυναῖκες, διὰ ταύτην, ὡς ἔοικε, τὴν αἰτίαν. τὰς γὰρ Τρῳάδας τὰς ληφθείσας αἰχμαλώτους καὶ εἰς ἐκείνους τοὺς τόπους ἀφικομένας, εὐλαβηθείσας μὴ πικρᾶς δουλείας τύχωσιν ὑπὸ τῶν ἐν ταῖς πατρίσι προϋπαρχουσῶν τοῖς Ἀχαιοῖς γυναικῶν, λέγεται τὰς ναῦς αὐτῶν ἐμπρῆσαι, ἵν' ἅμα μὲν τὴν προσδοκωμένην δουλείαν ἐκφύγωσιν, ἅμα δ' ὅπως μετ' ἐκείνων μένειν ἀναγκασθέντων συναρμοσθεῖσαι κατάσχωσιν αὐτοὺς ἄνδρας. πάνυ δὲ καὶ τῷ ποιητῇ καλῶς πέφρασται περὶ αὐτῶν· ἑλκεσιπέπλους γὰρ καὶ βαθυκόλπους κἀκείνας, ὡς ἔοικεν, ἰδεῖν ἔστιν.*

CX (120). *Ἐν δὲ τοῖς Πευκετίνοις εἶναί φασιν*

3. ἔργα EFAld. || 4. διαγωγῆς L. || εἱλεῖσθαι FGAld., οἰχεῖσθαι C. || 5. προσαγορεύεται EFG, προσαγορεῦσαι L.

CIX. Strab. 6. p. 284. Dion. Hal. ant. rom. 1, 72. Plut. d. virt. mul. s. Τρῳάδες. || 6. λ. δὲ περὶ EFvulg. || 7. δανίας EF. || 12. δὲ οἱ] διὰ C. || οἱ post καὶ om. vulg. || 13. αὐτῆς EF, αὐτῶν Ald. || 17. τοῖς πατρίσι τοῖς ἀχαιοῖς προϋπαρχουσῶν G. || 18. ἐμπρῆσθαι C. || 19. φύγωσιν C. || 20. συναρμοσθεῖναι G. || 23. ἐκείνας Cvulg. || ἐστὶν ἰδεῖν C.

CX 24. πευκεστίνοις C, πευκεντίνοις G.

Ἀρτέμιδος ἱερὸν, ἐν ᾧ τὴν διωνομασμένην ἐν ἐκείνοις τοῖς τόποις χαλκῆν ἕλικα ἀνακεῖσθαι λέγουσιν, ἔχουσαν ἐπίγραμμα »Διομήδης Ἀρτέμιδι.« μυθολογεῖται δ' ἐκεῖνον ἐλάφῳ περὶ τὸν τράχηλον περιθεῖναι, τὴν δὲ περιφῦναι, καὶ τοῦτον τὸν τρόπον εὑρισκομένην ὑπὸ Ἀγαθοκλέους ὕστερον τοῦ βασιλέως Σικελιωτῶν εἰς τὸ τοῦ Διὸς ἱερὸν ἀνατεθῆναί φασιν.

CXI (121). Ἐν τῇ ἄκρᾳ τῆς Σικελίας τῇ καλουμένῃ Πελωριάδι τοσοῦτον γίνεσθαι κρόκον, ὥστε παρά τισι μὲν τῶν ἐν ἐκείνοις τοῖς τόποις κατοικούντων μὴ γνωρίζεσθαι Ἑλλήνων, ποῖόν τί ἐστι τὸ ἄνθος, ἐπὶ δὲ τῆς Πελωριάδος ἁμάξας κατακομίζειν μεγάλας τοὺς βουλομένους, καὶ κατὰ τὴν ἐαρινὴν ὥραν τὰς στρωμνὰς καὶ τὰς σκηνὰς ἐκ κρόκου κατασκευάζειν.

CXII (122). Φησὶν εἶναι ὁ Πολύκριτος ὁ τὰ Σικελικὰ γεγραφὼς ἐν ἔπεσιν ἔν τινι τόπῳ τῆς μεσογείου λίμνιόν τι ἔχον ὅσον ἀσπίδος τὸ περίμετρον. τοῦτο δ' ἔχει ὕδωρ διαυγὲς μὲν μικρῷ δὲ θολερώτερον. εἰς τοῦτ' οὖν ἐάν τις εἰςβῇ λούσασθαι χρείαν ἔχων, αὔξεσθαι εἰς εὖρος, ἐὰν δὲ καὶ δεύτερος, μᾶλλον πλατύνεται· τὸ δὲ πέρας ἕως εἰς πεντήκοντα ἀνδρῶν ὑποδοχὴν μεῖζον γενόμενον διευρύνεται. ἐπειδὰν δὲ τοῦτον τὸν

2. κόλποις C. || 3. δὲ vulg. || 4. τὴν — ὕστερον om. CL. || 6. τῆς θεοῦ Matthiae. || 7. ἀνατεθεῖναι C.

CXI. 8. ἄδρα C. || 9. τοιοῦτον Matth. || κρόκκον G. || 10. ἐν om. EAld. || 12. τοῖς βουλομένοις CEFAld. || 13. εἰαρινὴν EAld. || 14. κρόκκου G.

CXII. Sotion c. 30. || 15. φασὶν C. || εἶναι om. G. || 16. μεσ. ἐστὶ λιμνηόν G. || 17. ἀσπίδος ὅσον C. || 18. ἔχειν vulg. || μὲν διαυγὲς C. || οὐ μικρῷ CEFLAld. || θωλερότερον EF, θολώτερον G. || 19. ἂν G. || 20. ἂν C. || δεύτερος Sylb. δεύτερον vulg. || πλατύνεσθαι vulg. || 21. ὑπεροχῆς CEFL. || 22. γινόμενον C. || διευρύνεσθαι Gvulg.

ἀριθμὸν λάβῃ, ἐκ βάθους πάλιν ἀνοιδοῦν ἐκβάλλειν μετέωρα τὰ σώματα τῶν λουομένων ἔξω ἐπὶ τὸ ἔδαφος· ὡς δ' ἂν τοῦτο γένηται, εἰς τὸ ἀρχαῖον πάλιν σχῆμα τῆς περιμέτρου καθίσταται. οὐ μόνον δ' ἐπὶ ἀνθρώπων τοῦτο περὶ αὐτὸ γίνεται, ἀλλὰ καὶ ἐάν τι τετράπουν εἰσβῇ, τὸ αὐτὸ πάσχει.

CXIII (123). Ἐν δὲ τῇ ἐπικρατείᾳ τῶν Καρχηδονίων φασὶν ὄρος εἶναι ὃ καλεῖται Οὐράνιον, παντοδαπῆς μὲν ὕλης γέμον, πολλοῖς δὲ διαπεποικιλμένον ἄνθεσιν, ὥστε τοὺς συνεχεῖς τόπους ἐπὶ πολὺ μεταλαμβάνοντας τῆς εὐωδίας αὐτοῦ ἡδίστην τινὰ τοῖς ὁδοιποροῦσι προσβάλλειν τὴν ἀναπνοήν. πρὸς δὴ τοῦτον τὸν τόπον κρήνην ἐλαίου φασὶν εἶναι, τὴν δὲ ὀσμὴν ἔχειν τοῦ κέδρου τοῖς ἀποπτίσμασιν ὁμοίαν. δεῖν δέ φασι τὸν προσιόντα πρὸς αὐτὴν ἁγνὸν εἶναι, καὶ τούτου γινομένου πλεῖον ἀναβλύζειν αὐτὴν τὸ ἔλαιον, ὥστε ἀσφαλῶς ἀρύεσθαι.

CXIV (124). Φασὶ καὶ ταύτης τῆς κρήνης πλησίον εἶναί τινα πέτραν αὐτοφυῆ, μεγάλην τῷ μεγέθει. ταύτην οὖν λέγουσιν, ἐπειδὰν μὲν ᾖ θέρος, φλόγα ἀναπέμπειν πυρός, χειμῶνος δὲ γενομένου ἐκ τοῦ αὐτοῦ τόπου κρουνὸν ὕδατος ἀναρραίνειν οὕτω ψυχροῦ

4. τῶν περιμέτρων C. || καθίστασθαι vulg. || δὲ vulg. || 5. γίνεσθαι vulg. || ἐὰν EFG. || 6. πάσχειν Cvulg.

CXIII. Sotion c. 29. Antig. c. 139. Ath. 2. p. 42 E. Vitruv. 8, 3. || 8. Οὐράνιον] γώνιον EFvulg., Οὔνιον L. || 11. αὐτῶν CEFL. || ὁδοιποροῦσιν Ald. 2. || 12. προσβάλλει E. || πρὸς δὲ δὴ C. || 13. κρήνας G. || 14. ἔχειν om. C. || τοῦ κένδρου EF, τῆς κέδρου L. || ἀποπτύσμασιν G, ἀποπτία CL. || 15. αὐτοὺς C. || ἀγνοεῖν Ald. 1, ἁγνεύειν vulg. et L adscripto ἁγνὸν εἶναι || 16. ἀναλύειν L. || 17. ἀσφαλῶς αὐτὴν ἀρ. G.

CXIV. Solin. c. 5. || 19. αὐτοφυᾶ CEFvulg. || 20. ταύτης EFvulg. || 21. ἀναπίπτειν EFvulg. ἀναρρίπτειν Casaub. || 22. ἀναραίνειν E. || οὕτω — χειμῶνα om. EFHAld. et eorum loco habent καὶ

ὥστε χιόνι συμβαλλόμενον μηδὲν διαφέρειν. καὶ τοῦτό φασιν οὐκ ἀπόκρυφον οὐδὲ μικρὸν χρόνον φαίνεσθαι, ἀλλὰ τὸ μὲν πῦρ ἀνιέναι τὴν θερείαν ὅλην, τὸ δὲ ὕδωρ πάντα τὸν χειμῶνα.

CXV (125). *Λέγεται δὲ καὶ περὶ τὴν τῶν Σιντῶν καὶ Μαιδῶν χώραν καλουμένην τῆς Θρᾴκης ποταμόν τινα εἶναι Πόντον προσαγορευόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους οἳ καίονται καὶ τοὐναντίον πάσχουσι τοῖς ἐκ τῶν ξύλων ἄνθραξι. ῥιπιζόμενοι γὰρ σβέννυνται ταχέως, ὕδατι δὲ ῥαινόμενοι ἀναλάμπουσι καὶ ἀνάπτουσι κάλλιον, παραπλησίαν δὲ ἀσφάλτῳ, ὅταν καίωνται, καὶ πονηρὰν οὕτως ὀσμὴν καὶ δριμεῖαν ἔχουσιν, ὥστε μηδὲν τῶν ἑρπετῶν ὑπομένειν ἐν τῷ τόπῳ καιομένων αὐτῶν.*

CXVI (126). *Εἶναι δέ φασι καὶ τόπον τινὰ παρ' αὐτοῖς οὐ λίαν μικρόν, ἀλλ' ὡς ἂν εἴκοσί που σταδίων, ὃς φέρει κριθὰς, αἷς οἱ μὲν ἄνθρωποι χρῶνται, οἱ δ' ἵπποι καὶ βόες οὐκ ἐθέλουσιν αὐτὰς ἐσθίειν, οὐδ' ἄλλο οὐδέν. ἀλλ' οὐδὲ τῶν ὑῶν οὐδὲ τῶν κυνῶν οὐδεμία τολμᾷ γεύσασθαι τῆς κόπρου τῶν ἀνθρώπων, οἵτινες ἂν ἐκ τῶν κριθῶν τούτων μᾶζαν φαγόντες ἢ ἄρτον ἀφοδεύωσι, τῷ θνήσκειν.*

τὰ δύο — λευκὸν ex cap. CXXXVII. || 1. *μηδενὶ* C. || 3. *τὸ*] *ἐκ* EF. || *θερίαν* EFAld. || 4. *χειμῶνα εἶναι* G, *χρόνον* EFAld.

CXV. Antig. c. 136. Steph. Byz. s. v. *Σιντία*. Plin. 33, 5. 36, 19. || 5. *δὲ καὶ* om. G. *καὶ* om. C. || *παρὰ τῇ* pr. G. || *σιτῶν* EFHAld. || 6. *Μαιδῶν* Sylb. codd. *μεδῶν*. || *χώρα καλουμένη* pr. G. || *περὶ τὴν χ. τῆς Θρ. καλ. τῶν Σ. καὶ* M. Heyn. || 7. *εἶναι* om. vulg. sed habet Ald. || *προσονομαζόμενον* EFGvulg. || 9. *τοῖς*] *τῆς* Ald. || 10. *αἵματι* rc. G, *ὕδασι* vulg. || 11. *καίονται* EFAld. 2. || 12. *ὀσμὴν οὕτω* CEFvulg.

CXVI. 15. *που* om. G. || 17. *ἄλλο*] *ἀλλ'* Ald. || 18. *ἀλλ'* om. C. || *τῶν* om. EAld. || *οἰῶν* G. || *οὐδὲ τῶν κυνῶν* delet Schneid. || 20. *ἐκ τῆς τῶν* EAld. || 21. *ἀφοδεύσωσι* EFvulg., *ἀφοδήσωσι* C. || *τῷ* om. C.

CXVII (127). *Ἐν δὲ Σκοτούσαις τῆς Θετταλίας φασὶν εἶναι κρηνίδιόν τι μικρόν, ἐξ οὗ ῥεῖ τοιοῦτον ὕδωρ, ὃ τὰ μὲν ἕλκη καὶ θλάσματα ταχέως ὑγιεινὰ ποιεῖ καὶ τῶν ἀνθρώπων καὶ τῶν ὑποζυγίων, ἐὰν δέ τις ξύλον μὴ παντάπασι συντρίψας ἀλλὰ σχίσας ἐμβάλῃ, συμφύεται καὶ πάλιν εἰς τὸ αὐτὸ καθίσταται.*

CXVIII (128). *Περὶ δὲ τὴν Θρᾴκην τὴν ὑπὲρ Ἀμφίπολιν φασὶ γίνεσθαί τι τερατῶδες καὶ ἄπιστον τοῖς μὴ τεθεαμένοις. ἐξιόντες γὰρ οἱ παῖδες ἐκ τῶν κωμῶν καὶ τῶν ἐγγὺς χωρίων ἐπὶ θήραν τῶν ὀρνιθαρίων συνθηρεύειν παραλαμβάνουσι τοὺς ἱέρακας, καὶ τοῦτο ποιοῦσιν οὕτως. ἐπειδὰν προέλθωσιν εἰς τόπον ἐπιτήδειον, καλοῦσι τοὺς ἱέρακας ὀνομαστὶ κεκραγότες· οἱ δ' ὅταν ἀκούσωσι τῶν παίδων τὴν φωνήν, παραγινόμενοι κατασοβοῦσι τοὺς ὄρνιθας· οἱ δὲ δεδιότες ἐκείνους καταφεύγουσιν εἰς τοὺς θάμνους, ὅπου αὐτοὺς οἱ παῖδες ξύλοις τύπτοντες λαμβάνουσιν. ὃ δὲ πάντων ἂν τις μάλιστα θαυμάσειεν· οἱ μὲν γὰρ ἱέρακες ὅταν αὐτοί τινα λάβωσι τῶν ὀρνίθων, καταβάλλουσι τοῖς θηρεύουσιν, οἱ δὲ παῖδες ἁπάντων τῶν ἁλόντων μέρος τι τοῖς ἱέραξιν ἀποδόντες ἀπέρχονται.*

CXIX (129). *Θαυμαστὸν δέ τι καὶ παρὰ τοῖς Ἐνετοῖς φασι γίνεσθαι. ἐπὶ γὰρ τὴν χώραν αὐτῶν πολλάκις κολοιῶν ἀναριθμήτους μυριάδας ἐπιφέρεσθαι καὶ*

CXVII. Antig. c. 142. Sotion c. 9. Plin. 31, 2. ‖ 2. *οὗ καὶ ῥεῖ* EFvulg. ‖ *τοσοῦτον* C. ‖ 3. *ὃ* rc. C. ‖ 5. *ἐμβάλλῃ* EAld. ‖ 6. *καθίστησιν* EFG.

CXVIII. Arist. hist. an. 9, 24. Antig. c. 28. Plin. 10, 8. ‖ 8. *ἀμφιπόλεως* CEFvulg., *Cedropolin* vocant Arist. Antig. ‖ *γενέσθαι* CEG. ‖ *τι* om. CFG. ‖ 9. *θεασαμένοις* C. ‖ 12. *προσέλθωσιν* EFGvulg. ‖ 14. *παρασοβοῦσιν* CEFvulg. ‖ 15. *τοὺς — καταφεύγουσιν* om. EFvulg. ‖ 17. *λήψωσιν* G. ‖ 20. *τι παρὰ τοῖς* L.

CXIX. Antig. c. 173. Ael. 17, 16. Apost. prov. 1, 54.

τὸν σῖτον αὐτῶν σπειράντων καταναλίσκειν· οἷς τοὺς Ἐνετοὺς πρὸ τοῦ ἐφίπτασθαι μέλλειν ἐπὶ τὰ μεθόρια τῆς γῆς προτιθέναι δῶρα, παντοδαπῶν καρπῶν καταβάλλοντας σπέρματα. ὧν ἐὰν μὲν γεύσωνται οἱ κολοιοί, οὐχ ὑπερβαίνουσιν ἐπὶ τὴν χώραν αὐτῶν, ἀλλ' οἴδασιν οἱ Ἔνετοι ὅτι ἔσονται ἐν εἰρήνῃ· ἐὰν δὲ μὴ γεύσωνται, ὡσεὶ πολεμίων ἔφοδον αὐτοῖς γινομένην οὕτω προσδοκῶσιν.

CXX (130). Ἐν δὲ τῇ Χαλκιδικῇ τῇ ἐπὶ Θρᾴκης πλησίον Ὀλύνθου φασὶν εἶναι Κανθαρώλεθρον ὀνομαζόμενον τόπον, μικρῷ μείζονα τὸ μέγεθος ἅλω, εἰς ὃν τῶν μὲν ἄλλων ζώων ὅταν τι ἀφίκηται, πάλιν ἀπέρχεται, τῶν δὲ κανθάρων τῶν ἐλθόντων οὐδείς, ἀλλὰ κύκλῳ περιιόντες τὸ χωρίον λιμῷ τελευτῶσιν.

CXXI (131). Ἐν δὲ Κύκλωψι τοῖς Θρᾳξὶ κρηνίδιόν ἐστιν ὕδωρ ἔχον, ὃ τῇ μὲν ὄψει καθαρὸν καὶ διαφανὲς καὶ τοῖς ἄλλοις ὅμοιον, ὅταν δὲ πίῃ τι ζῶον ἐξ αὐτοῦ, παραχρῆμα διαφθείρεται.

CXXII (132). Φασὶ δὲ καὶ ἐν τῇ Κραστωνίᾳ παρὰ τὴν Βισαλτῶν χώραν τοὺς ἁλισκομένους λαγὼς δύο ἥπατα ἔχειν, καὶ τόπον τινὰ εἶναι ὅσον πλεθριαῖον, εἰς

3. *μεταλάβοντας* L. || 4. *οἱ* om. EFAld. || *κολιοὶ* EF. || 5. *οὐχ — γεύσωνται* om. EFAld. || *ἀλλ'*] *καὶ* Cvulg. || 6. *οἰχήσονται* rc. G. || 7. *αὐτοῖς* Ald.

CXX. Antig. c. 14. Plin. 11, 28. || 9. *χαλκίδι* CEFvulg. || 10. *κανθαρόλεθρον* G, *κανθαλώλεθρον* EF. || 11. *μεῖζον* EFGvulg || 12. *ἐπανέρχεται* rc. G.

CXXI. Antig. c. 141. Sotion c. 15. Plin. 31, 2. || 15. *Κιγχρώψωσιν* Ant., *Χρωψὶ* Sot., *Κύγχωψι* Harduin. || *κρηνηΐδιον* EF. || 16. *ἔχειν* F.

CXXII. Ar. hist. 2, 12. part. an. 3, 7. Ael. 5, 27. || 19. *κροτωνία* G, *Κρηστωνίᾳ* Sylb., *Γρηστωνίᾳ* Pinedo. *κραστωνίᾳ παρὰ* om. EFH, *τῆν τὴν* Ald. *περὶ* Heyn.

ὃν ὅ τι ἂν εἰσέλθῃ ζῶον, ἀποθνήσκειν. (133) ἔστι δὲ καὶ ἄλλο αὐτόθι ἱερὸν Διονύσου μέγα καὶ καλόν, ἐν ᾧ τῆς ἑορτῆς καὶ τῆς θυσίας οὔσης λέγεται, ὅταν μὲν ὁ θεὸς εὐετηρίαν μέλλῃ ποιεῖν, ἐπιφαίνεσθαι μέγα σέλας πυρός, καὶ τοῦτο πάντας ὁρᾶν τοὺς περὶ τὸ τέμενος διατρίβοντας, ὅταν δ' ἀκαρπίαν, μὴ φαίνεσθαι τοῦτο τὸ φῶς, ἀλλὰ σκότος ἐπέχειν τὸν τόπον ὥσπερ καὶ τὰς ἄλλας νύκτας.

CXXIII (134). Ἐν Ἤλιδι λέγουσιν εἶναί τι οἴκημα σταδίους ἀπέχον ὀκτὼ μάλιστα τῆς πόλεως, εἰς ὃ τιθέασι τοῖς Διονυσίοις λέβητας χαλκοῦς τρεῖς κενούς. τοῦτο δὲ ποιήσαντες παρακαλοῦσι τῶν Ἑλλήνων τῶν ἐπιδημούντων τὸν βουλόμενον ἐξετάσαι τὰ ἀγγεῖα καὶ τοῦ οἴκου κατασφραγίζεσθαι τὰς θύρας. καὶ ἐπειδὰν μέλλωσιν ἀνοίγειν, ἐπιδείξαντες τοῖς πολίταις καὶ τοῖς ξένοις τὰς σφραγῖδας, οὕτως ἀνοίγουσιν. οἱ δ' εἰσελθόντες εὑρίσκουσι τοὺς μὲν λέβητας οἴνου πλήρεις, τὸ δὲ ἔδαφος καὶ τοὺς τοίχους ὑγιεῖς, ὥστε μηδεμίαν εἶναι ὑποψίαν λαβεῖν ὡς τέχνῃ τινὶ κατασκευάζουσιν. (135) εἶναι δέ φασι παρ' αὐτοῖς καὶ ἰκτίνους, οἳ παρὰ μὲν τῶν διὰ τῆς ἀγορᾶς τὰ κρέα φερόντων ἁρπάζουσι, τῶν δὲ ἱεροθύτων οὐχ ἅπτονται.

CXXIV (136). Ἐν Κορωνείᾳ δὲ τῆς Βοιωτίας λέγεται τοὺς ἀσπάλακας τὰ ζῶα μὴ δύνασθαι ζῆν μηδ'

4. *μέλλει* Ald. || 5. *καὶ — ἀκαρπίαν* om. CL. || 7. *ὡς* EFGvulg.

CXXIII. Apoll. hist. mir. c. 10. Paus. 6, 26. 5, 14. || 11. *τιθέσι* L. || 12. *ἐλήνων* Ald. 1. || 15. *τοὺς πολίτας* rc. C. || *καὶ* om. C. || 16. *οἱ δ' εἰσελθ. εὑρ.* om. G. || 18. *εἶναι* post *ὑποψίαν* Cvulg., om. EFAld. || 19. *τέχνην* Ald. 1. || 22. *οὐχ* om. EF.

CXXIV. Ar. hist. an. 8, 27. Antig. c. 10. Ael. 17, 10. Plin. 8, 58. || 23. *κορωνίᾳ* CG, *κορωνίδι τῆς* L. || 24. *ἀσπαλάγγας* L. || *τὸ ζῶον* CGL. p. gloss. habet Heyn.

ὀρύσσειν τὴν γῆν, τῆς λοιπῆς Βοιωτίας πολὺ πλῆθος ἐχούσης.

CXXV (137). Ἐν Λουσοῖς δὲ τῆς Ἀρκαδίας κρήνην εἶναί τινά φασιν, ἐν ᾗ χερσαῖοι μῦες γίνονται καὶ κολυμβῶσι, τὴν δίαιταν ἐν ἐκείνῃ ποιούμενοι. λέγεται δ' αὐτὸ τοῦτο καὶ ἐν Λαμψάκῳ εἶναι.

CXXVI (138). Ἐν δὲ Κράννωνι τῆς Θετταλίας φασὶ δύο κόρακας εἶναι μόνους ἐν τῇ πόλει. οὗτοι ὅταν ἐκνεοττεύσωσιν, ἑαυτοὺς μέν, ὡς ἔοικεν, ἐκτοπίζουσιν, ἑτέρους δὲ τοσούτους τῶν ἐξ αὐτῶν γενομένων ἀπολείπουσιν.

CXXVII (139). Ἐν δὲ Ἀπολλωνίᾳ τῇ πλησίον κειμένῃ τῆς τῶν Ἀτιτάνων χώρας φασὶ γίγνεσθαι ἄσφαλτον ὀρυκτὴν καὶ πίσσαν, τὸν αὐτὸν τρόπον ἐκ τῆς γῆς ἀναπηδῶσαν τοῖς ὕδασιν, οὐδὲν διαφέρουσαν τῆς Μακεδονικῆς, μελαντέραν δὲ καὶ παχυτέραν πεφυκέναι ἐκείνης. οὐ πόρρω δὲ τούτου τοῦ χωρίου πῦρ ἐστι καιόμενον πάντα τὸν χρόνον, ὥς φασιν οἱ κατοικοῦντες περὶ τὴν χώραν ἐκείνην. ὁ δὲ καιόμενος τόπος ἐστὶν οὐ πολύς, ὡς ἔοικεν, ἀλλ' ὅσον μάλιστα πεντακλίνου τὸ μέγεθος. ὄζει δὲ θείου καὶ στυπτηρίας, καὶ

CXXV. Antig. c. 137. Sotion c. 10. Plin. h. n. 31, 2. || 3. *Λουσοῖς* Sylb., *κολουσσοῖς* L, *κολούσσοις* cett. et Ald. 1, *κολούσης* Ald. 2. || 6. *δὲ* vulg.

CXXVI. Ar. hist. an. 9, 21. Antig. c. 15. Steph. Byz. s. v. *Κράννων*. || 7. *κράννωνι* EFvulg. || 8. *κόρας εἶναι ἐν τῇ πόλει μόνους* C. || 9. *ἐκνεοττεύουσιν* EF, *ἐκνεοτεύουσιν* Ald.

CXXVII. Aelian. var. hist. 13, 16. Vitr. 8, 3. cf. c. XXXVI. || 12. *δὲ τῇ* C. || *πλησίαν* FG. || 13. *τῆς* om. Ald. || *Ἀτιτάνων* (*Ἀτιντάνων*) Holst., *ἀτλαντικῶν* G, *ἀθπλαντίνων* L, *ἀτλαντίνων* cett. Ald. Bk., *Ταυλαντίων* Brodaeus. || *χώρᾳ* Ald. || *φησὶ* Ald. 2. || 15. *συναναπηδῶσαν* CEFvulg. || 17. *ἐκείνης* ante *πεφυκέναι* H, *ἐκόνης* F. || 20. *ὅσος* CEFGAld. || 21. *θεῖον* C. || *στυπτηρείας* Ald.

πέφυκε περὶ αὐτὸν πόα τε βαθεῖα, ὃ καὶ θαυμάσειεν ἄν τις μάλιστα, καὶ δένδρα μεγάλα, οὐκ ἀπέχοντα τοῦ πυρὸς πήχεις τέσσαρας. καλεῖται δὲ συνεχῶς περὶ Λυκίαν καὶ Μεγάλην πόλιν τὴν ἐν Πελοποννήσῳ.

CXXVIII (140). *Λέγεται δὲ καὶ ἐν Ἰλλυριοῖς τίκτειν τὰ βοσκήματα δὶς τοῦ ἐνιαυτοῦ, καὶ τὰ πλεῖστα διδυμοτοκεῖν, καὶ πολλὰ δὲ τρεῖς ἢ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ πέντε καὶ πλείους, ἔτι δὲ γάλακτος ἀφιέναι ῥᾳδίως τρία ἡμίχοα. λέγουσι δὲ καὶ τὰς ἀλεκτορίδας οὐχ ὥσπερ παρὰ τοῖς ἄλλοις ἅπαξ τίκτειν, ἀλλὰ δὶς ἢ τρὶς τῆς ἡμέρας.*

CXXIX (141). *Λέγεται δὲ καὶ ἐν Παιονίᾳ τοὺς βοῦς τοὺς ἀγρίους πολὺ μεγίστους ἁπάντων τῶν ἐν τοῖς λοιποῖς ἔθνεσι γίγνεσθαι, καὶ τὰ κέρατα αὐτῶν χωρεῖν τέσσαρας χόας, ἐνίων δὲ καὶ πλεῖον.*

CXXX (142). *Περὶ δὲ τοῦ πορθμοῦ τῆς Σικελίας καὶ ἄλλοι μὲν πλείους γεγράφασι, καὶ οὗτος δέ φησι συμβαίνειν τερατῶδες. ἐκ γὰρ τοῦ Τυρρηνικοῦ πελάγους πολλῷ ῥοίζῳ φερόμενον τὸν κλύδωνα προσβάλλειν πρὸς ἀμφότερα τὰ ἀκρωτήρια, τό μὲν τῆς Σικελίας, τὸ δὲ τῆς Ἰταλίας, τὸ προσαγορευόμενον Ῥήγιον, καὶ φερόμενον ἐκ μεγάλου πελάγους εἰς στενὸν συγκλείεσθαι,*

1. *καὶ ὃ* vel *ὅ τε* Sylb. || 3. *λιμναν* C. cf. Antig. c. 166. Plin. 5, 27. || 4. *πελοπονήσω* F.

CXXVIII. Steph. Byz. s. v. *Ἀδρία.* || 7. *τέτταρας* G. || 8. *ἔνιοι* EFGAld. || *δὲ καὶ γ.* C. || 11. *ἢ*] *καὶ* vulg. || *τρὶς παρ' αὐτοῖς τῆς* G.

CXXIX. cf. c. I. || 12. *ἐν τῇ παιονίᾳ* Fvulg. inde ab Ald. 2. || 13. post *τοῖς* EFHAld. *ψυχροῦ — χρόνον* ex c. CXIV, *λοιποῖς ἔθνεσι — πλεῖον* iidem ponunt post *δ' ἐστὶ* cap. CXXXVII, post *χόας* statim c. CXXXVIII. habet L.

CXXX. Just. 4, 1. Hoc cap. cum CXII. coniungi iubet Sylb. || 16. *τῆς*] *τοῦ* G. || 18. *τυρρηνοῦ* EFAld. || 19. *ῥύζῳ* F. || 21. *καὶ* om. EFGvulg. || *φερόμενον* om. vulg.

τούτου δὲ γινομένου κῦμα μετέωρον αἴρειν σὺν πολλῷ βρόμῳ ἐπὶ πάνυ πολὺν τόπον τῆς ἄνω φορᾶς, ὥστε τοῖς μακρὰν ἀπέχουσι σύνοπτον εἶναι τὸν μετεωρισμόν, οὐχ ὅμοιον φαινόμενον θαλάσσης ἀναφορᾷ, λευκὸν δὲ καὶ ἀφρῶδες, παραπλήσιον δὲ τοῖς συρμοῖς τοῖς γινομένοις ἐν τοῖς ἀνυπερβλήτοις χειμῶσι. καί ποτε μὲν ἀλλήλοις συμπίπτειν ἐπ' ἀμφοτέρων τῶν ἀκρωτηρίων τοὺς κλύδωνας, καὶ ποιεῖν συγκλυσμὸν ἄπιστον μὲν διηγεῖσθαι, ἀνυπομόνητον δὲ τῇ ὄψει θεάσασθαι· ποτὲ δὲ διισταμένους ἐκ τῆς πρὸς ἀλλήλους συρράξεως οὕτω βαθεῖαν καὶ φρικώδη τὴν ἄποψιν ποιεῖν τοῖς ἐξ ἀνάγκης θεωμένοις, ὥστε πολλοὺς μὲν μὴ κρατεῖν ἑαυτῶν, ἀλλὰ πίπτειν σκοτουμένους ὑπὸ δέους. ἐπειδὰν δὲ προσπεσὸν τὸ κῦμα πρὸς ὁποτερονοῦν τῶν τόπων καὶ μετεωρισθὲν ἕως τῶν ἄκρων πάλιν εἰς τὴν ὑπορρέουσαν θάλασσαν κατενεχθῇ, τότε δὴ πάλιν σὺν πολλῷ μὲν βρυχηθμῷ μεγάλαις δὲ καὶ ταχείαις δίναις τὴν θάλασσαν ἀναζεῖν καὶ μετεωρίζεσθαι κυκωμένην ἐκ βυθῶν, παντοδαπὰς δὲ χρόας μεταλλάσσειν· ποτὲ μὲν γὰρ ζοφερὰν, ποτὲ δὲ κυανῆν, πολλάκις δὲ πορφυρίζουσαν διαφαίνεσθαι. τὸν δὲ δρόμον καὶ τὸ μῆκος αὐτῆς, ἔτι δὲ πρὸς τούτοις τὴν ἀνάρροιαν οὐδὲ ἀκούειν οὐδὲν ἑρπετὸν οὔθ' ὁρᾶν ὑπο-

2. *τρόμῳ* G. || *πάνω* EFAld. || 3. *συνόπτην* EFAld. 1, *εὐσύνοπτον* Steph. || 4. *οὐκ ἀνόμοιον* vulg. || 5. *ἀφρῷ παραπλήσιον· ἐν δὲ τοῖς σεισμοῖς* G. || *συρμοῖς τοῖς* om. Ald. || 6. *χειμῶσι — ἀλλήλοις* om. Ald. || *καὶ* om. G. || 8. *ποιεῖν ποτὲ μὲν* G. || *συγκλεισμὸν* EFGvulg. || 10. *διιστάντας* rc. G. || 11. *ὄψιν* C. || *ἐξ ἀνάγκης*] *ἐκ γῆς* Steph. || 13. *πληττουμένους* (voluit *πληττομένους*) L. || *ὑπὸ τοῦ δέους* EF, *ἐκ τ. δ.* Ald. || *προσπέσων* E, *προσπεδόν* L. || 14. *ὁπότερον* G. || 15. *ἕως*] *ἐκ* G. || 16. *μὲν* om. EFAld. || *μυκηθμῷ* L. || 17. *τραχείαις* CEFvulg. || *αὔξειν* rc. G. || 18. *κυκλωμένην* E, *κυκλουμένην* Ald. || 19. *μεταλάσσειν* G, *καταλαβεῖν* EFAld. || 22. *οὐδὲ* EAld. || *ὑπομένει φεύγει* C. *φεύγει* Ald.

μένειν, φεύγειν δὲ πάντα πρὸς τὰς ὑποκειμένας ὑπωρείας. λήγοντος δὲ τοῦ κλύδωνος τὰς δίνας μετεώρους φέρεσθαι ποικίλας οὕτω τὰς ἀναστροφὰς ποιουμένας, ὥστε δοκεῖν πρηστήρων ἢ τινων ἄλλων μεγάλων ὄφεων σπειράματι παρομοίους τὰς κινήσεις ἀποτελεῖν.

CXXXI (143). *Φασὶν οἰκοδομούντων Ἀθηναίων τὸ τῆς Δήμητρος ἱερὸν τῆς ἐν Ἐλευσῖνι περιεχομένην στήλην πέτραις εὑρεθῆναι χαλκῆν, ἐφ' ἧς ἐπεγέγραπτο »Δηιόπης τόδε σῆμα,« ἣν οἱ μὲν λέγουσι Μουσαίου εἶναι γυναῖκα, τινὲς δὲ Τριπτολέμου μητέρα γενέσθαι.*

CXXXII (144). *Ἐν μιᾷ τῶν Αἰόλου προσαγορευομένων νήσων πλῆθός τί φασι γενέσθαι φοινίκων, ὅθεν καὶ Φοινικώδη καλεῖσθαι. οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθές, ὅτι ἀπὸ Φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων τὸ φυτὸν ἔλαβε τὴν προσηγορίαν. ἀλλὰ καὶ αὐτοὺς τοὺς Φοίνικας ὑπὸ τῶν Ἑλλήνων φασί τινες [φοίνικας] προσαγορευθῆναι διὰ τὸ πρώτους πλέοντας τὴν θάλασσαν, ᾗ ἂν ἀποβαίησαν, πάντας ἀποκτείνειν καὶ φονεύειν. καὶ κατὰ γλῶσσαν δ' ἐστὶ τὴν Περραιβῶν τὸ αἱμάξαι φοινίξαι.*

CXXXIII (145). *Τῆς καλουμένης Αἰνιακῆς χώρας περὶ τὴν ὀνομαζομένην Ὑπάτην λέγεται παλαιά τις στήλη εὑρεθῆναι, ἣν οἱ Αἰνιᾶνες τίνος ἦν εἰδέναι βου-*

1. *ὑπορείας* C. || 2. *κλύδονος* F. || *δίνας*] *ναῦς* CG. || 3. *φαίνεσθαι* CGL. || *ἀναφορὰς* Fvulg. || 5. *πειράματα* C, *σπειράμασι* Sylb.

CXXXI. 7. *τὴν ἐν* C. || *ἐλευσίνῃ* CE. || *παρεχομένην* EAld. || 8. *ἣ* EF. || 9. *διιόπης τόδε σῆμα δήμητρος ἣν* C, idem omisso *τόδε* L. || 10. *γλαῦκα* EFAld. 1.

CXXXII. 11. *αἰόλων* C. || 13. *οὖν* om. L. || 17. *φοίνικας* om. CEFvulg. || 20. *περαιβῶν* EFAld. || *ἀμπέξαι* C.

CXXXIII. 21. *αἰνικῆς χώρας* G, *αἰνι ρας* F, *αἰνι* EHAld. || 23. *αἰνειάνες* C, *ἄνες* post lacunam HAld. 1, *ἀκαρνάνες* it. post lac. Ald. 2.

λόμενοι, ἔχουσαν ἐπιγραφὴν ἀρχαίοις γράμμασιν, ἀπέστειλαν εἰς Ἀθήνας τινὰς κομίζοντας αὐτήν. πορευομένων δὲ διὰ τῆς Βοιωτίας, καὶ τισι τῶν ξένων ὑπὲρ τῆς ἀποδημίας ἀνακοινουμένων, λέγεται αὐτοὺς εἰσαχθῆναι εἰς τὸ καλούμενον Ἰσμήνιον ἐν Θήβαις· ἐκεῖθεν γὰρ μάλιστα ἂν εὑρεθῆναι τὴν τῶν γραμμάτων ἐπιγραφήν, λέγοντες εἶναί τινα ἀναθήματα ὁμοίους ἔχοντα τοὺς ῥυθμοὺς τῶν γραμμάτων ἀρχαῖα. ὅθεν αὐτούς φασιν ἀπὸ τῶν γνωριζομένων, τὴν εὕρεσιν ποιησαμένους τῶν ἐπιζητουμένων, ἀναγράψαι τούσδε τοὺς στίχους·

Ἡρακλέης τεμένισσα Κυθήρᾳ Πασιφαέσσῃ,
Γηρυονέως ἀγέλας ἠδ' Ἐρύθειαν ἄγων,
τᾶς μ' ἐδάμασσε πόθῳ Πασιφάεσσα θεά.
τῇδε δέ μοι τεκνοῖ παῖδ' Ἐρύθοντα δάμαρ,
νυμφογενὴς Ἐρύθη· τῇ τόδ' ἔδωκα πέδον
μναμόσυνον φιλίας φηγῷ ὑπὸ σκιερᾷ.

τούτῳ τῷ ἐπιγράμματι ἐπεχώρησε καὶ ὁ τόπος ἐκεῖνος Ἔρυθος καλούμενος, καὶ ὅτι ἐκεῖθεν τὰς βοῦς καὶ οὐκ ἐξ Ἐρυθείας ἤγαγεν· οὐδὲ γὰρ ἐν τοῖς κατὰ Λιβύην

1. ἀπέστειλας EF. ‖ 4. ἀνακινουμένων EF. ‖ 6. μὲν γὰρ EF, δὲ CL. ‖ ἂν om. G. ‖ ἀνευρεθῆναι C. ‖ 7. ὁμοίους om. G. ‖ 8. ἀριθμοὺς CL. ‖ 9. ὑπὸ C. ‖ ποιησαμένων C. ‖ 12. epigr. ex emend. G. Hermanni in opusc. 5. p. 179 sqq. ‖ ἡρακλέους EFGrc., pr. enim ἥρακλέος. ‖ τεμενις τε vel τεμένισατε EFGpr., τεμένει τε id. rc., τεμένισσω L, τεμένισσε Bk. ‖ φερσεφαάσῃ CEFAld. ‖ 13. γηρυθνείας C, τηδορυονῆας EF, τηδορουνῆας Ald., γερυονεῖας L, Γηρυονείας Bk. ‖ ἀγέλας L, ἀγέλαν F, ἀγέλων E, ἀγέλην Ald. ‖ ἐρυθὸν G. ‖ 14. τὰς δάμασσε G, τὰς μὲν ἐδάμασσε L, τὰς δ' ἐδάμασσε Bk. qui coni. τᾶς ἐ δάμασσε. ‖ πασσιφάεσσα EF. ‖ 15. δὴ L. ‖ τεκνῷ codd. ‖ παῖδ'] τῷ δ' codd. ‖ ἐρύθοντι CEF, Ἐρύθον τε Bk. ‖ δάμαρ GL, δάμαρτι cett. δαμαρντιμφογενὴς HAld. ‖ 16. ἐρυθιδὴ τόδ' C, ἐρύθη δ' L, Ἐρύθη· δὴ τόδ' cett. ‖ 17. φιλότας CEFG, φιλίτας L. ‖ φυτὰ CEG, φητὰ F, φυγὰ L. ‖ σκιερὰ G. ‖ 19. ἐρυθῆς C. ‖ τοὺς CEvulg. ‖ 20. ἐρυθίας EFHAld.

καὶ Ἰβηρίαν τόποις οὐδαμοῦ τὸ ὄνομά φασι λέγεσθαι τῆς Ἐρυθείας.

CXXXIV (146). *Τῆς δὲ Λιβύης ἐν Ἰτύκῃ τῇ καλουμένῃ, ἣ κεῖται μὲν, ὡς λέγουσιν, ἐν τῷ κόλπῳ τῷ μεταξὺ Ἑρμαίας καὶ τῆς Ἵππου ἄκρας, ἐπέκεινα δὲ Καρχηδόνος ὡς σταδίους διακοσίους (ἣ καὶ πρότερον κτισθῆναι λέγεται ὑπὸ Φοινίκων αὐτῆς τῆς Καρχηδόνος ἔτεσι διακοσίοις ὀγδοήκοντα ἑπτά, ὡς ἀναγέγραπται ἐν ταῖς Φοινικικαῖς ἱστορίαις), γίνεσθαί φασιν ἅλας ὀρυκτοὺς ἐπὶ τρεῖς ὀργυιὰς τὸ βάθος, τῇ ὄψει λευκοὺς καὶ οὐ στερεούς, ἀλλ' ὁμοίους τῷ γλισχροτάτῳ γλοιῷ· καὶ ὅταν ἀνενεχθῶσιν εἰς τὸν ἥλιον, ἀποστερεοῦσθαι, καὶ γίνεσθαι ὁμοίους τῷ Παρίῳ λίθῳ. γ ὑφεσθαι δὲ ἐξ αὐτῶν λέγουσι ζώδια καὶ ἄλλα σκεύη.*

CXXXV (147). *Τοὺς πρώτους τῶν Φοινίκων ἐπὶ Ταρτησσὸν πλεύσαντας λέγεται τοσοῦτον ἀργύριον ἀντιφορτίσασθαι, ἔλαιον καὶ ἄλλον ναυτικὸν ῥῶπον εἰσαγαγόντας, ὥστε μηκέτι ἔχειν δύνασθαι μήτε ἐπιδέξασθαι τὸν ἄργυρον, ἀλλ' ἀναγκασθῆναι ἀποπλέοντας ἐκ τῶν τόπων τά τε ἄλλα πάντα ἀργυρᾶ οἷς ἐχρῶντο κατασκευάσασθαι, καὶ δὴ καὶ τὰς ἀγκύρας πάσας.*

CXXXVI (148). *Λέγουσι τοὺς Φοίνικας τοὺς κατοικοῦντας τὰ Γάδειρα καλούμενα, ἔξω πλέοντας Ἡρα-*

1. *λέγεσθαί φασι* EFvulg.

CXXXIV. Plin. 31, 7. ‖ 3. *τῇ* om. CL. ‖ 4. *ἣ — ἱστορίαις* p. gloss. habet Matth. ‖ 5. *ἑρμίας* F, *ἑραμαίας* CL, *Ἑρμείας* vulg. *Ἑρμάνας* Casaub. in mg. ‖ *ἐπ' ἐκεῖνο* EFAld. ‖ 7. *κτισθῆσθαι* F. ‖ *νίκω* (*νικα* HAld.) post lacunam EFH. ‖ 9. *φοινικαῖς* Ald. 2. ‖ 12. *ἀνενεχθῶσι* Ald. ‖ 13. *παρίου* C. ‖ 14. *λέγεται* EFAld.

CXXXV. 17. *ἐλαίου* C. ‖ *ἄλλα* C. ‖ *ναυτικῶν* G. ‖ *ῥωπὴν* EF, *ῥοπῶν* G pr. ‖ 18. *ὡς* C. ‖ 19. *τὸ ἀργύριον* G.

CXXXVI. 22. *τοὺς Φ.*] *περὶ φ.* EFAld. ‖ 23. *γάδυρα* E.

κλείων στηλῶν ἀπηλιώτῃ ἀνέμῳ ἡμέρας τέτταρας, παραγίνεσθαι εἴς τινας τόπους ἐρήμους, θρύου καὶ φύκους πλήρεις, οὓς ὅταν μὲν ἄμπωτις ᾖ, μὴ βαπτίζεσθαι, ὅταν δὲ πλημμύρα, κατακλύζεσθαι· ἐφ' ὧν εὑρίσκεσθαι ὑπερβάλλον θύννων πλῆθος, καὶ τοῖς μεγέθεσιν ἄπιστον καὶ τοῖς πάχεσιν, ὅταν ἐποκείλωσιν· οὓς ταριχεύοντες καὶ συντιθέντες εἰς ἀγγεῖα διακομίζουσιν εἰς Καρχηδόνα. ὧν Καρχηδόνιοι μόνων οὐ ποιοῦνται τὴν ἐξαγωγήν, ἀλλὰ διὰ τὴν ἀρετὴν ἣν ἔχουσι κατὰ τὴν βρῶσιν αὐτοὶ καταναλίσκουσιν.

CXXXVII (149). *Ἐν τῇ Πηδασίᾳ τῆς Καρίας θυσία τῷ Διὶ συντελεῖται, ἐν ᾗ πέμπουσιν αἶγά τινα, περὶ ἣν θαυμαστόν τί φασι γίγνεσθαι. βαδίζουσα γὰρ ἐκ Πηδάσων σταδίους ἑβδομήκοντα δι' ὄχλου πολλοῦ τοῦ θεωροῦντος οὔτε διαταράττεται κατὰ τὴν πορείαν οὔτ' ἐκτρέπεται τῆς ὁδοῦ, δεδεμένη δὲ σχοινίῳ προπορεύεται τοῦ τὴν ἱερωσύνην ἔχοντος. θαυμαστὸν δ' ἐστὶ καὶ τὸ δύο κόρακας εἶναι διὰ τέλους περὶ τὸ τοῦ Διὸς ἱερόν, ἄλλον δὲ μηδένα προσιέναι πρὸς τὸν τόπον, καὶ τὸν ἕτερον αὐτῶν ἔχειν τὸ πρόσθεν τοῦ τραχήλου λευκόν.*

CXXXVIII (150). *Ἐν Ἰλλυριοῖς δὲ τοῖς Ἀρδιαίοις καλουμένοις, παρὰ τὰ μεθόρια τῶν Αὐταριατῶν*

1. *στηρῶν* E. ‖ *τέσσαρας* C. ‖ 3. *μὴ* om. EFAld. ‖ 4. *ὧν*] *οἷς* rc. G. ‖ 5. *θύνων* C. ‖ *ἄπιστον* ante *πάχεσιν* CEFvulg. ‖ 6. *ὅταν* om. EFAld. ‖ *ἐπωκείλωσιν* CEF. ‖ 8. *μόνον οὐ* EFvulg., *μόνον οὐ μόνον* G.

CXXXVII. cf. Apoll. hist. mir. c. 13. ‖ 16. *σχοινίῳ*] *σχεδὸν* rc. G, om. in lacuna EFAld. ‖ 17. post *ἐστὶ* EFH *λοιποῖς ἔθνεσι*, post *δὲ* omisso *ἐστὶ* Ald. habet *τοῖς λοιποῖς ἔθνεσι γίγνεται*. vid. sup adn. ad c. CXIV. et CXXIX. ‖ 18. *παρὰ* G. ‖ 19. *προσιέναι*] *πέτεσθαι* Hvulg., om. EF. ‖ *πρὸς* om. CEFHL. ‖ 20. *τρ. τὸ λευκὸν* EF.

CXXXVIII. 21. *ἀρδίοις* EFAld., *ταρδίοις* G, *ἀρκαδίοις* C. ‖ 22. *αὐθαριάδων* rc. G, *αὐταρτῶν* EFAld., *Αὐταρεατῶν* vulg.

κἀκείνων, φασὶν ὄρος εἶναι μέγα, τούτου δὲ πλησίον ἄγκος, ὅθεν ὕδωρ ἀναπηδᾶν, οὐ πᾶσαν ὥραν, ἀλλὰ τοῦ ἦρος, πολὺ τῷ πλήθει, ὃ λαμβάνοντες τὰς μὲν ἡμέρας ἐν τῷ στεγνῷ φυλάττουσι, τὰς δὲ νύκτας εἰς τὴν αἰθρίαν τιθέασι. καὶ πέντε ἢ ἓξ ἡμέρας τοῦτο ποιησάντων αὐτῶν πήγνυται τὸ ὕδωρ, καὶ γίνεται κάλλιστον ἅλας, ὃ ἕνεκεν τῶν βοσκημάτων μάλιστα διατηροῦσιν· οὐ γὰρ εἰσάγονται πρὸς αὐτοὺς ἅλες διὰ τὸ κατοικεῖν πόρρω αὐτοὺς θαλάσσης καὶ εἶναι αὐτοὺς ἀμίκτους. πρὸς οὖν τὰ βοσκήματα πλείστην αὐτοῦ χρείαν ἔχουσιν· ἁλίζουσι γὰρ αὐτὰ δὶς τοῦ ἐνιαυτοῦ. ἐὰν δὲ μὴ ποιήσωσι τοῦτο, συμβαίνει αὐτοῖς ἀπόλλυσθαι τὰ πλεῖστα τῶν βοσκημάκων.

CXXXIX (151). *Ἐν Ἄργει δέ φασι γίνεσθαι ἀκρίδος τι γένος, ὃ καλεῖται σκορπιομάχον. ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ· ὡσαύτως δὲ καὶ ὁ σκορπίος ἐκείνῃ· καὶ κύκλῳ περιοῦσα τρίζει περὶ αὐτόν· τὸν δὲ τὸ κέντρον ἐπαίροντα ἀντιπεριάγειν ἐν τῷ αὐτῷ τόπῳ, εἶτα κατὰ μικρὸν ἀνιέναι τὸ κέντρον, καὶ τέλος ὅλον ἐκτείνεσθαι, τῆς ἀκρίδος κύκλῳ τρεχούσης. τὰ τελευταῖα δὲ προσελθοῦσα κατεσθίει αὐτὸν ἡ ἀκρίς. ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου ἐπιφαγεῖν αὐτήν.*

CXL (152). *Τοὺς ἐν Νάξῳ σφῆκάς φασιν, ὅταν*

1. *κακεῖνοι* EFvulg. || 2. *πᾶσιν* E. || 8. *αὐτὰς* Ald. || 9. *αὐτοὺς τῆς θ.* C.

CXXXIX. Trophilus ap. Stob. floril. 100, 24. || 15. *τινὸς* EFvulg. || *καλεῖσθαι* G. || 16. *τάχιστα* om. EFAld. || *ἀνθίστασθαι* G, *ἀντίστασθαι* L. || 17. *ἐκείνης* G. || 18. *κέτρον* E. || 20. *καὶ τῆς* EFvulg. || 21. *προσελθοῦσα* om. L. || *ἡ ἀκρὶς* om. CEFvulg. || 22. *καὶ* om. CEFvulg. || 23. *τοῦ ἐπιφαγεῖν* L, *τὸ ἐπιφ.* Ald. St, *ἐπαγαγεῖν* C.

CXL. Ael. 9, 15. Plin. 11, 53.

φάγωσι τοῦ ἔχεως (προσφιλὴς δ' αὐτοῖς ἡ σὰρξ, ὡς ἔοικεν, ἐστίν), ἐπειδάν τινα κεντήσωσι, περιωδύνους οὕτω ποιεῖν, ὥστε χαλεπωτέραν φαίνεσθαι τῆς πληγῆς τῶν ἔχεων.

CXLI (153). *Φασὶ τὸ Σκυθικὸν φάρμακον, ᾧ ἀποβάπτουσι τοὺς οἰστούς, συντίθεσθαι ἐξ ἐχίδνης. τηροῦσι δὲ, ὡς ἔοικεν, οἱ Σκύθαι τὰς ἤδη ζωοτοκούσας, καὶ λαβόντες αὐτὰς τήκουσιν ἡμέρας τινάς. ὅταν δὲ ἱκανῶς αὐτοῖς δοκῇ σεσῆφθαι πᾶν, τὸ τοῦ ἀνθρώπου αἷμα εἰς χυτρίδιον ἐγχέοντες εἰς τὰς κοπρίας κατορύττουσι πωμάσαντες. ὅταν δὲ καὶ τοῦτο σαπῇ, τὸ ὑφιστάμενον ἐπάνω τοῦ αἵματος, ὅ δή ἐστιν ὑδατῶδες, μιγνύουσι τῷ τῆς ἐχίδνης ἰχῶρι, καὶ οὕτω ποιοῦσι θανάσιμον.*

CXLII (154). *Ἐν Κουρίῳ τῆς Κύπρου ὄφεών τι γένος εἶναί φασιν, ὃ τὴν δύναμιν ὁμοίαν ἔχει τῇ ἐν Αἰγύπτῳ ἀσπίδι, πλὴν ὅτι τοῦ χειμῶνος ἐὰν δάκῃ, οὐδὲν ἐργάζεται, εἴτε δι' ἄλλην τινὰ αἰτίαν, εἴτε διότι τὸ ζῷον δυσκίνητον γίνεται ὑπὸ τοῦ ψύχους ἀποπηγνύμενον καὶ τελέως ἀδύνατον, ἐὰν μὴ θερμανθῇ.*

CXLIII (155). *Ἐν Κέῳ φασὶν εἶναί τι γένος ἀχέρδου, ὑφ' ἧς ἐάν τις πληγῇ τῇ ἀκάνθῃ, ἀποθνήσκει.*

CXLIV (156). *Ἐν Μυσίᾳ φασὶν ἄρκτων τι γένος εἶναι λευκόν, αἳ ὅταν κυνηγῶνται, ἀφιᾶσι τοιαύτην*

1. *αὐτοῖς* om. Ald. ‖ 3. *οὕτως* vulg.

CXLI. Ael. et Plin. l. l. ‖ 5. *σκυτικὸν* Ald. 2. ‖ 6. *ἐχίνης* C. ‖ 9. *δοκεῖ* Ald. 2. ‖ *τὸ τοῦ*] *τότε* Sylb. ‖ 10. *χυσαντρίδιον* Ald. 2. ‖ *ἐκχέοντες* CEFvulg. ‖ *τοὺς κοπρίους* EFGvulg. ‖ *κατορύσσουσι* G. ‖ 11. *πωμώσαντες* C.

CXLII. 15. *κουρίῳ* G. ‖ 16. *ἔχειν* EF.

CXLIII. Antig. c. 18. ‖ 21. *καίῳ* EF. ‖ 22. *ἧ* EFG.

CXLIV. 24. *ὅταν*] *ἅμα* EFAld.

πνοήν, ὥστε τῶν κυνῶν τὰς σάρκας σήπειν, ὡσαύτως δὲ καὶ τῶν λοιπῶν θηρίων, ἀβρώτους τε ποιεῖν. ἐὰν δέ τις καὶ βιάσηται καὶ ἐγγίσῃ, ἀφιᾶσιν ἐκ τοῦ στόματος φλέγμα πάμπολύ τι, ὡς ἔοικεν, ὃ προσφυσᾷ πρὸς τὰ πρόσωπα τῶν κυνῶν, ὡσαύτως δὲ καὶ τῶν ἀνθρώπων, ὥστε καὶ ἀποπνίγειν καὶ ἀποτυφλοῦν.

CXLV (157). *Ἐν δὲ τῇ Ἀραβίᾳ ὑαινῶν τι γένος φασὶν εἶναι, ὃ ἐπειδὰν προΐδῃ τι θηρίον ἢ ἀνθρώπου ἐπιβῇ ἐπὶ τὴν σκιάν, ἀφωνίαν ἐργάζεται καὶ πῆξιν τοιαύτην, ὥστε μὴ δύνασθαι κινεῖν τὸ σῶμα. τοῦτο δὲ ποιεῖν καὶ ἐπὶ τῶν κυνῶν.*

CXLVI (158). *Κατὰ δὲ Συρίαν εἶναί τί φασι ζῷον ὃ καλεῖται λεοντοφόνον· ἀποθνήσκει γὰρ ὁ λέων, ὡς ἔοικεν, ὅταν αὐτοῦ φάγῃ. ἑκὼν μὲν οὖν τοῦτο οὐ ποιεῖ, ἀλλὰ φεύγει τὸ ζῷον· ὅταν δὲ συλλαβόντες αὐτὸ οἱ κυνηγέται καὶ ὀπτήσαντες ὥσπερ ἄλφιτα λευκὰ περιπάσσωσιν ἄλλῳ ζῴῳ, γευσάμενον ἀπόλλυσθαί φασι παραχρῆμα. κακοῖ καὶ προσουροῦν τὸν λέοντα τοῦτο τὸ ζῷον.*

CXLVII (159). *Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς*

2. τι] τὸ EF., om. Cvulg. || 4. προσπύσαι rc. G. || πρὸς om. EFAld. || 5. δὲ om. EFvulg.

CXLV. Ael. 3, 7. 6, 14. || 7. ὑένων C. || 8. ὅπερ C. || θρώπου — ἀφωνίαν om. EFHAld. in lacuna. ἄνθρωπος Salm. || 9. ἐργάζεσθαι G. || πλῆξιν pr. L, sed rc. πῆξιν et sic vulg. || 11. ποιεῖν EFAld. || πὶ τῶν κυνῶν om. E in lacuna, καίεται p. καὶ ἐπὶ τῶν κυνῶν Ald.

CXLVI. Ael. 4, 18. Plin. 8, 38. || 12. φασί τε Fvulg. || 14. οὖν om. CEFvulg. || 15. φύγει L. || 16. ὀπτήσαντα EF. || περισπάσωσιν E, περισπάσσωσιν F, περιπάσωσιν Ald. || 17. ἄλλο ζῷον G. || τὸ γευσάμενον Fvulg. τὸν γ. Heyn. || 18. κακεῖ C, κακῇ δὲ καὶ L. || πρὸς τὸ οὐροῦν Ald.

CXLVII. Theophr. d. odor. p. 442. Ael. 3, 7. 4, 18. Plin. 11, 53.

τῶν μύρων ὀσμῆς ἀποθνήσκειν, ἐάν τις αὐτοὺς χρίσῃ ἢ δῷ τι μεμυρισμένον φαγεῖν. ὡσαύτως δὲ καὶ τοὺς κανθάρους ὑπὸ τῆς τῶν ῥόδων ὀσμῆς.

CXLVIII (160). *Καὶ ἐν Σικελίᾳ δέ φασι καὶ ἐν Ἰταλίᾳ τοὺς γαλεώτας θανάσιμον ἔχειν τὸ δῆγμα, καὶ οὐχ ὥσπερ τοὺς παρ' ἡμῖν ἀσθενὲς καὶ μαλακόν. εἶναι δὲ καὶ μυῶν γένος ἐφιπτάμενον, ὃ ὅταν δάκῃ, ἀποθνήσκειν ποιεῖ.*

CXLIX (161). *Ἐν δὲ τῇ Μεσοποταμίᾳ τῆς Συρίας φασὶ καὶ ἐν Ἰστροῦντι ὀφείδιά τινα γίγνεσθαι, ἃ τοὺς ἐγχωρίους οὐ δάκνει, τοὺς ξένους δὲ ἀδικεῖ σφόδρα.*

CL. *Περὶ δὲ τὸν Εὐφράτην καὶ τελείως φασὶ τοῦτο γίγνεσθαι. πολλοὺς γὰρ φαίνεσθαι περὶ τὰ χείλη τοῦ ποταμοῦ, καὶ διανέοντας ἐφ' ἑκάτερα, ὥστε τῆς δείλης ἐνταῦθα θεωρουμένους ἅμα τῇ ἡμέρᾳ ἐπὶ θατέρου μέρους φαίνεσθαι, καὶ τοὺς ἀναπαυομένους τῶν μὲν Σύρων μὴ δάκνειν, τῶν δ' Ἑλλήνων μὴ ἀπέχεσθαι.*

CLI (162). *Ἐν Θεσσαλίᾳ φασὶ τὸν ἱερὸν καλούμενον ὄφιν πάντας ἀπολλύειν, οὐ μόνον ἐὰν δάκῃ, ἀλλὰ καὶ ἐὰν θίγῃ. διὸ καὶ ὅταν φανῇ καὶ τὴν φωνὴν ἀκούσωσι (φαίνεται δὲ σπανίως), φεύγουσι καὶ οἱ ὄφεις καὶ οἱ ἔχεις καὶ τἆλλα πάντα θηρία. τῷ δὲ μεγέθει οὐκ ἔστι*

2. *μεμυρισμένων* E.

CXLVIII. Ar. hist. an. 8, 28. ‖ 6. *τὸ* CEFG. ‖ *ὑμῖν* Ald. 2. ‖ 7. *μυιῶν* Ald. ‖ 8. *ποιεῖν* Ald. 2.

CXLIX. Plin. 8, 59. ‖ 10. *οἰστροῦντι* pr. G, *μυροῦντι* rc., *ἰατροῦντι* Ald., *Τιρύνθι* Holst. *Mirinthe* s. *Myrinthe* codd. sp. Plin., *Myunte* Salm. ‖ 11. *δὲ καὶ* CEFvulg.

CL. Plin. l. l. Apollon. c. 12. Ael. 9, 29. ‖ 13. *δὲ* om. CEFAld. ‖ 15. *διαννέοντας* E, *διενέοντας* Ald. ‖ 16. *θεωρουμένης* G.

CLI. 20. *ἂν* CG.

μέγας, ἀλλὰ μέτριος. ἐν Τήνῳ δέ ποτέ φασιν αὐτὸν τῇ πόλει κατὰ Θετταλίαν ἀναιρεθῆναι ὑπὸ γυναικός, γενέσθαι δὲ τὸν θάνατον τοιόνδε. γυναῖκα κύκλον γράψασαν καὶ τὰ φάρμακα θεῖσαν εἰσβῆναι εἰς τὸν κύκλον, αὐτὴν καὶ τὸν υἱόν, εἶτα μιμεῖσθαι τὴν φωνὴν τοῦ θηρίου· τὸ δὲ ἀντᾴδειν καὶ προσιέναι. ᾄδοντος δὲ καταδαρθεῖν τὴν γυναῖκα, καὶ ἐγγυτέρω προσιόντος μᾶλλον, ὥστε μὴ δύνασθαι κρατεῖν τοῦ ὕπνου. τὸν δ' υἱὸν παρακαθήμενον ἐγείρειν τύπτοντα κελευούσης ἐκείνης, καὶ λέγειν ὅτι ἐὰν μὲν καθυπνώσῃ, ἀπολεῖται καὶ αὐτὴ καὶ ἐκεῖνος, ἐὰν δὲ βιάσηται καὶ προσαγάγηται τὸ θηρίον, σωθήσονται. ὡς δὲ προσῆλθεν ὁ ὄφις εἰς τὸν κύκλον, αὖον εὐθὺς γενέσθαι αὐτόν.

CLII (163). *Λέγεται περὶ τὰ Τύανα ὕδωρ εἶναι ὁρκίον Διός (καλοῦσι δὲ αὐτὸ Ἀσβαμαῖον), οὗ πηγὴ ἀναδίδοται πάνυ ψυχρά, παφλάζει δὲ ὥσπερ οἱ λέβητες. τοῦτο εὐόρκοις μὲν ἡδύ τε καὶ ἵλεων, ἐπιόρκοις δὲ παρὰ πόδας ἡ δίκη. ἀποσκήπτει γὰρ καὶ εἰς ὀφθαλμοὺς καὶ εἰς χεῖρας καὶ εἰς πόδας, ἁλίσκονταί τε ὑδέροις καὶ φθόαις· καὶ οὐδὲ πρόσθεν ἀπελθεῖν δυνατόν, ἀλλ' αὐτόθι ἔχονται καὶ ὀλοφύρονται πρὸς τῷ ὕδατι, ὁμολογοῦντες ἃ ἐπιώρκησαν.*

1. *ποτε* om. C. *φασί ποτε* L. ‖ *αὐτῇ* CEFLvulg. ‖ *αὐτῇ — Θετταλίαν* deleri vult Heyn. ‖ 3. *τοιοῦτον* C. ‖ *ῥάψασαν* Ald. 1. ‖ 4. *τὰ* om. C. ‖ 8. *μὴ*] *μόνον* C. ‖ *τὸν ὕπνον* rc. G. ‖ *καὶ τὸν δ'* E. ‖ 11. *βιάσηται καὶ προσαγάγῃ* C. ‖ *θηρίον* Ald. 1. ‖ 13. *λύσιν εὐθ. γ. αὐτοῦ* EFvulg.

Capp. CLII — CLXXVI. sola habet J. G autem: *ἐν ἄλλῳ ἀντιγράφῳ ἡ παρακειμένη ἀρχὴ πᾶσα τῶν παραδόξων ἀκουσμάτων ἔλειπεν ἄχρι τοῦ »ἐν Βιθυνίᾳ δὲ τῆς Θρᾴκης ἐν τοῖς μετάλλοις«* (c. XXXIII.), *ἦσαν δὲ ἀντ' ἐκείνων τὰ ὑποτεταγμένα.*

CLII. 14. *τυάνῳ* J ‖ 15. *καλεῖται* rc. B, om. in lacuna CJ. ‖ *δὲ* om. C. ‖ *οὗ ν πηγῇ ἀναδίδοται* Jvulg. ‖ 16. *παμφάζει* J, *παφλάζει* id. in mg. ‖ *οἱ* om. L. ‖ 17. *παραπόδας* L. ‖ 22. *ἐπιόρκισαν* L.

CLIII (164). *Ἀθήνησί φασι τὸν ἱερὸν τῆς ἐλαίας θαλλὸν ἐν ἡμέρᾳ μιᾷ βλαστῆναι καὶ πλείονα γενέσθαι, ταχὺ δὲ αὖ πάλιν συστέλλεσθαι.*

CLIV (165). *Τῶν ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων καὶ ἀνὰ τὴν γῆν φερομένων ἔνθα καὶ ἔνθα χειμάρρου δίκην, τὸ τῶν εὐσεβῶν γένος ἐτίμησε τὸ δαιμόνιον. περικαταληφθέντων γὰρ ὑπὸ τοῦ ῥεύματος διὰ τὸ βαστάζειν γέροντας ἐπὶ τῶν ὤμων γονεῖς καὶ σώζειν, πλησίον αὐτῶν γενόμενον τὸ τοῦ πυρὸς ῥεῦμα ἐξεσχίσθη, παρέτρεψέ τε τοῦ φλογμοῦ τὸ μὲν ἔνθα τὸ δὲ ἔνθα, καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι τοὺς νεανίσκους.*

CLV (166). *Λέγεται τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευάζοντα τὴν ἐν ἀκροπόλει Ἀθηνᾶν ἐν μεσότητι ταύτης τῆς ἀσπίδος τὸ ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι, καὶ συνδῆσαι τῷ ἀγάλματι διά τινος ἀφανοῦς δημιουργίας, ὥστ' ἐξ ἀνάγκης εἴ τις βούλοιτο αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα λύειν τε καὶ συγχεῖν.*

CLVI (167). *Φασὶν ὡς ἀνδριὰς ὁ τοῦ Βίτυος ἐν Ἄργει ἀπέκτεινε τὸν αἴτιον τοῦ θανάτου τῷ Βίτυι, θεωροῦντι ἐμπεσών. ἔοικεν οὖν οὐκ εἰκῇ τὰ τοιαῦτα γίνεσθαι.*

CLVII (168). *Φασὶ τοὺς κύνας μόνον διώκειν*

CLIII. 2. *θαλὸν* J.

CLIV. Arist. d. mund. c. 6. ‖ 5. *χειμάρου* J. ‖ 7. *περικαταλειφθέντων* CGJ.

CLV. Arist. d. mund. c. 6. ‖ 14. *ἐν μέσῃ τῇ ταύτης ἀσπίδι* Ar. ‖ 17. *ὥστε* vulg. ‖ *θημιουργείας* J.

CLVI. Arist. poet. c. 9. Plut. d. ser. num. vind. c. 8. ‖ 19. *ὁ* ante *ἀνδριὰς* inter versus habet L. ‖ *Μίτυος* Ar. *Μιτίου* Pl. ‖ 20. *τὸν αἴτιον* om. BCGJ. ‖ *θεάτρου* G. ‖ *Μίτυι* Ar.

CLVII. 23. *κάρας μὴ δ.* G.

τὰ θηρία πρὸς τὰς κορυφὰς τῶν Μελάνων καλουμένων ὀρῶν, ἀλλ' ἀναστρέφειν, ὅταν ἄχρι τούτων διώκωσιν.

CLVIII (169). Ἐν τῷ Φάσιδι ποταμῷ γεννᾶσθαι ῥάβδον ὀνομαζομένην λευκόφυλλον, ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνόθευτον τηροῦσι τὸν γάμον.

CLIX (170). Ἐν δὲ τῷ Τίγριδι γίνεσθαί φασι λίθον μωδῶν κεκλημένον βαρβαρικῶς, τῇ χρόᾳ πάνυ λευκόν, ὃν ἐὰν κατέχῃ τις, ὑπὸ θηρίων οὐδὲν ἀδικεῖται.

CLX (171). Ἐν δὲ τῷ Σκαμάνδρῳ γίνεσθαί φασι βοτάνην σεῖστρον καλουμένην, παραπλησίαν ἐρεβίνθῳ, κόκκους δ' ἔχει σειομένους, ὅθεν τὴν προσηγορίαν ἔλαβε· ταύτην τοὺς κατέχοντας μήτε δαιμόνιον μήτε φαντασίαν ἡντιναοῦν φοβεῖσθαι.

CLXI (172). Περὶ Λιβύην ἄμπελός ἐστιν, ἣν καλοῦσι μαινομένην τινές, ἣ τῶν καρπῶν τοὺς μὲν πεπαίνει, τοὺς δ' ὀμφακώδεις ἔχει, τοὺς δ' ἀνθοῦντας καὶ βραχὺν τινα χρόνον.

CLXII (173). Περὶ τὸ Σίπυλον ὄρος γίνεσθαί φασι λίθον παρόμοιον κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς μητρὸς τῶν θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτάνουσιν, ἀλλ' ἀεί εἰσι φιλοπάτορες.

1. μεγάλων G. || 2. διώξωσιν. L.

CLVIII. Plut. d. fluv. c. 5. || 4. ζηλώτυποι C, ζολότυποι J. || 5. τῶν om. L. || παρθενίαν G.

CLIX. Plut. d. fluv. c. 24. || 7. δὲ om. C. || γενέσθαι C, γεννᾶσθαι J. || 8. μωδᾶν L, μυνδὰν Plut. || 9. οὐδὲν ὑπὸ θηρίων BCJ.

CLX. Plut. d. fluv. c. 13. || 11. σείστρον L, σίστρον cett. || παραπλήσιον CGL. || 12. ἔχειν vulg.

CLXI. Theophr. d. causs. plant. c. 22.

CLXII. Plut. d. fluv. c. 9. || 23. ἀλλ'] καὶ G. || ἀεὶ om. BGL.

CLXIII (174). *Ἐν ὄρει Τηυγέτῳ γίνεσθαι βοτάνην καλουμένην χαρισίαν, ἣν γυναῖκες ἔαρος ἀρχομένου τοῖς τραχήλοις περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἐρῶνται.*

CLXIV (178). *Ὄθρυς ὄρος ἐστὶ Θετταλίας, ὃ φέρει ὄφεις τοὺς λεγομένους σῆπας, οἳ οὐκ ἔχουσι μίαν χροιάν, ἀλλ' ἀεὶ ὁμοιοῦνται τῷ χώρῳ ἐν ᾧ οἰκοῦσι. τινὲς δὲ αὐτῶν ὅμοιον ἔχουσι τὸ χρῶμα τοῖς κόχλοις τῆς γῆς. ἄλλοις δὲ χλοάζουσά ἐστιν ἡ φολίς. ὅσοι δὲ αὐτῶν ἐν ψαμάθοις διατρίβουσι, ταύταις ἐξομοιοῦνται κατὰ τὸ χρῶμα. δάκνοντες δὲ ἐμποιοῦσι δίψος. ἔστι δὲ αὐτῶν τὸ δῆγμα οὐ τραχὺ καὶ ἔμπυρον, ἀλλὰ κακόηθες.*

CLXV (179). *Τοῦ περκνοῦ ἔχεως τῇ ἐχίδνῃ συγγινομένου, ἡ ἔχιδνα ἐν τῇ συνουσίᾳ τὴν κεφαλὴν ἀποκόπτει. διὰ τοῦτο καὶ τὰ τέκνα, ὥσπερ τὸν θάνατον τοῦ πατρὸς μετερχόμενα, τὴν γαστέρα τῆς μητρὸς διαρρήγνυσιν.*

CLXVI (180). *Ἐν τῷ Νείλῳ ποταμῷ γεννᾶσθαι λίθον φασὶ κυάμῳ παρόμοιον, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι. συντελεῖ δὲ καὶ τοῖς δαιμονί τινι γενομένοις κατόχοις· ἅμα γὰρ τῷ προστεθῆναι ταῖς ῥισὶν ἀπέρχεται τὸ δαιμόνιον.*

CLXVII (181). *Ἐν δὲ τῷ Μαιάνδρῳ ποταμῷ τῆς Ἀσίας λίθον φασὶ σώφρονα καλούμενον κατ' ἀντίφρασιν·*

CLXIII. Plut. d. fluv. c. 17. ‖ 1. ὄρει τῷ ἡψέτω BCJLvulg. ‖ 2. ἔρωτος BCJLvulg.

CLXIV. 10. ἐν om. CJL.

CLXV. 14. ἔχιος Bvulg. ‖ 16. ὥσπερ om. G. ‖ 17. τὸν L.

CLXVI. Plut. d. fluv. c. 16.

CLXVII. Plut. d. fluv. c. 9. ‖ 25. ἄφρονα BCJL, ἔμφρονα L in mg., τέφρωνα G, εὔφρονα Steph.

ὃν ἐάν τις εἴς τινος ἐμβάλῃ κόλπον, ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν.

CLXVIII (182). *Ῥῆνος καὶ Ἴστρος οἱ ποταμοὶ ὑπ' ἄρκτον ῥέουσιν, ὁ μὲν Γερμανοὺς ὁ δὲ Παίονας παραμείβων· καὶ θέρους μὲν ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, τοῦ δὲ χειμῶνος παγέντες ὑπὸ κρύους ἐν πεδίου σχήματι καθιππεύονται.*

CLXIX (183). *Περὶ τὴν Θούριον πόλιν δύο ποταμούς φασιν εἶναι, Σύβαριν καὶ Κρᾶθιν. ὁ μὲν οὖν Σύβαρις τοὺς πίνοντας ἀπ' αὐτοῦ πτυρτικοὺς εἶναι ποιεῖ, ὁ δὲ Κρᾶθις τοὺς ἀνθρώπους ξανθότριχας λουομένους.*

CLXX (184). *Ἐν δὲ Εὐβοίᾳ δύο ποταμοὺς εἶναι, ὧν ἀφ' οὗ μὲν τὰ πίνοντα πρόβατα λευκὰ γίνονται· ὃς ὀνομάζεται Κέρβης· ὁ δὲ Νηλεύς, ὃς μέλανα ποιεῖ.*

CLXXI (185). *Παρὰ Λυκόρμᾳ ποταμῷ γεννᾶσθαι βοτάνην λόγχῃ παρόμοιον, συντελοῦσαν πρὸς ἀμβλυωπίαν ἄριστα.*

CLXXII (186). *Τὴν ἐν Συρακούσαις τῆς Σικελίας πηγὴν Ἀρέθουσαν διὰ πενταετηρίδος κινεῖσθαι λέγουσιν.*

CLXVIII. Herodian. hist. 6, 7. || 4. *ὑπ' ἄρκτῳ* BJvulg., *ἐπ' ἄρκτον* C. || 6. *διὰ βάθος τε καὶ πλάτος* post *ῥεῖθρον* habet Her. || 7. *καθιππεύονται* J.

CLXIX. Theophr. ap. Ael. 12, 36. Plin. 31, 2. Antig. c. 134. || 9. *σούβαριν* BGJ. || 10. *σούβαρις* BGJ. || *ἵππους* ad *πίνοντας* ex Strab. 6. p. 263. addi vult Niclas.

CLXX. Antig. c. 78. || 13. *εὐβοίᾳ* BCDGJ. || 14. *μὲν* om. G. || 15. *νηνεὺς* G.

CLXXI. Plut. d. fluv. c. 8. || 16. *λυκάρμῳ* BCDGJL. || 17. *ἀμβλυωπίας ἄριστα* BCDJvulg., *ἀμβλυποννᾶσθαι* (*πι* supra *βλ*) *ἄριστα* L, olim *ἀμβλυάριστα*.

CLXXII. 20. *πενταετήριδος* L.

CLXXIII (187). *Ἐν ὄρει Βερεκυνθίῳ γεννᾶσθαι λίθον καλούμενον μάχαιραν, ὃν ἐὰν εὕρῃ τις, τῶν μυστηρίων τῆς Ἑκάτης ἐπιτελουμένων ἐμμανὴς γίνεται, ὡς Εὔδοξός φησιν.*

CLXXIV (188). *Ἐν ὄρει δὲ Τμώλῳ γεννᾶσθαι λίθον παρόμοιον κισσήρει, ὃς τετράκις τῆς ἡμέρας ἀλλάσσει τὴν χρόαν· βλέπεσθαι δὲ ὑπὸ παρθένων τῶν μὴ τῷ χρόνῳ φρονήσεως μετεχουσῶν.*

CLXXV (189). *Ἐν Ἀρτέμιδος Ὀρθωσίας βωμῷ ταῦρον ἵστασθαι χρύσειον, ὃς κυνηγῶν εἰσελθόντων φωνὴν ἐπαφίησιν.*

CLXXVI (190). *Ἐν Αἰτωλοῖς φασιν ὁρᾶν τοὺς ἀσπάλακας ἀμυδρῶς, καὶ οὐδὲ σιτεῖσθαι γῆν ἀλλ' ἀκρίδας.*

CLXXVII (191). *Τοὺς ἐλέφαντάς φασι κύειν ἔτη δύο, οἱ δὲ μῆνας ὀκτωκαίδεκα, ἐν δὲ τῇ ἐκτέξει δυστοκεῖν.*

CLXXVIII (192). *Δημάρατον Τιμαίου τοῦ Λόκρου ἀκουστὴν νοσήσαντα ἄφωνόν φασιν ἐπὶ δέκα γενέσθαι ἡμέρας· ἐν δὲ τῇ ἑνδεκάτῃ ἀνανήψας βραδέως ἐκ τῆς παρακοπῆς ἔφησεν ἐκεῖνον τὸν χρόνον ἥδιστα αὑτῷ βεβιῶσθαι.*

CLXXIII. Plut d. fluv. c. 10.

CLXXIV. Plut. d. fluv. c. 7. ‖ 5. *τμώκῳ* G. ‖ 6. *κίσσυρι* J, *κίσσηρι* BCGL.

CLXXV. Plut. d. fluv. c. 21. ‖ 9. *ἀρτέμιδι* C.

CLXXVII. Arist. hist. an. 6, 25. ‖ 14. *ἐλ. ἔτη δύο τίκτειν λέγουσιν* G.

CLXXVIII. 17. *τημάρατον* CDJvulg. ‖ 19. *ἀνανήψαντα* omisso *ἔφησεν* G. ‖ 20. *αὐτῷ ἥδιστα τὸν χρόνον* BDJL.

ΑΝΤΙΓΟΝΟΥ

ΙΣΤΟΡΙΩΝ ΠΑΡΑΔΟΞΩΝ ΣΥΝΑΓΩΓΗ.

1. *Τίμαιος ὁ τὰς Σικελικὰς ἱστορίας συγγεγραφὼς ἐν Ῥηγίῳ φησὶ τοὺς Λοκροὺς καὶ τοὺς Ῥηγίνους ὁρίζοντος Ἄληκος καλουμένου ποταμοῦ τῶν τεττίγων τοὺς μὲν ἐν τῇ Λοκρικῇ ᾄδειν, τοὺς δὲ ἐν τῇ Ῥηγίνων ἀφώνους εἶναι. λέγεται δέ τι τούτου μυθωδέστερον· ἀφικομένων γὰρ εἰς Δελφοὺς κιθαρῳδῶν Ἀρίστωνος μὲν ἐκ Ῥηγίου, παρὰ δὲ Λοκρῶν Εὐνόμου, καὶ περὶ τοῦ κλήρου πρὸς ἑαυτοὺς εἰς ἀντιλογίαν ἐλθόντων, ὁ μὲν οὐκ ᾤετο δεῖν ἐλαττοῦσθαι, τῆς ὅλης Ῥηγίνων ἀποικίας ἐκ Δελφῶν καὶ παρὰ τοῦ θεοῦ γεγενημένης, ὁ δὲ κατέτρεχεν, ὅτι τὸ παράπαν οὐδὲ κιθαρῳδεῖν καθήκει, παρ᾽ οἷς οὐδ᾽ οἱ τέττιγες ᾄδουσιν. εὐημερήσαντος γοῦν τοῦ Ῥηγίνου ἐν τῷ ἀγῶνι ἐνίκησεν Εὔνομος ὁ Λοκρὸς παρὰ τοιαύτην αἰτίαν· ᾄδοντος αὐτοῦ μεταξὺ τέττιξ ἐπὶ τὴν λύραν ἐπιπτὰς ᾖδεν, ἡ δὲ πανήγυρις ἀνεβόησεν ἐπὶ τῷ γεγονότι καὶ ἐκέλευσεν ἐᾶν.*

1. Tim. fr. 126. Goell. Conon. hist. 5. Plin. 9, 27. Paus. 6. 6, 4. ‖ 3. *Ἄληκος* vulg. ‖ 15. *επιπτὰς* cod., *ἐπιστὰς* edd. ‖ 16. *ἐκέλευσεν ἐᾶν*] *victorem pronunciavit* Xyl., ex quo censor Beckmanni Götting. coni. *ἐκέλευσε νικᾶν.*

II. *Καὶ ἄλλο δὲ παρὰ τοῖς Ῥηγίνοις τοιοῦτον ὡς μυθικὸν ἱστορεῖται, ὅτι Ἡρακλῆς ἔν τινι τόπῳ τῆς χώρας κατακοιμηθεὶς καὶ ἐνοχλούμενος ὑπὸ τῶν τεττίγων ηὔξατο αὐτοὺς ἀφώνους γενέσθαι.*

III. *Καὶ ἐν Κεφαλληνίᾳ δὲ ποταμὸς διείργει, καὶ ἐπίταδε μὲν γίνονται τέττιγες, ἐπέκεινα δὲ οὔ.*

IV. *Οὐδ' ἐν Σερίφῳ δὲ οἱ βάτραχοι φθέγγονται, καὶ μυθῶδες καὶ παρὰ τοῖς Σεριφίοις ἐνίσχυσεν, πλὴν οἱ μὲν περὶ Ἡρακλέους, οἱ δὲ περὶ Περσέως.*

V. *Ὁ δὲ Μυρσίλος ὁ τὰ Λεσβιακὰ συγγεγραφὼς φησίν, τῆς Ἀντισσαίας, ἐν ᾧ τόπῳ μυθολογεῖται καὶ δείκνυται δὲ ὁ τάφος ὑπὸ τῶν ἐγχωρίων τῆς τοῦ Ὀρφέως κεφαλῆς, τὰς ἀηδόνας εἶναι εὐφωνοτέρας τῶν ἄλλων.*

VI. *Πίπτοι δ' ἂν τὸ γένος τῆς ἐκλογῆς εἰς τοὺς λεγομένους ἐν τῇ Ἀττικῇ καὶ Βοιωτίᾳ πέρδικας, ὧν τοὺς μὲν εὐφώνους, τοὺς δὲ τελείως ἰσχνοφώνους ὁμολογεῖται γίγνεσθαι.*

VII. *Ἴδιον δὲ καὶ τὸ περὶ τὰ ἔντερα τῶν προβάτων· τὰ μὲν γὰρ τῶν κριῶν ἐστιν ἄφωνα, τὰ δὲ τῶν θηλειῶν εὔφωνα, ὅθεν καὶ τὸν ποιητὴν ὑπολάβοι τις εἰρηκέναι, πολυπράγμονα πανταχοῦ καὶ περιττὸν ὄντα,*

ἑπτὰ δὲ θηλυτέρων οἴων ἐτανύσσατο χορδάς.

VIII. *Οὐχ ἧττον δὲ τούτου θαυμαστόν, καθωμιλημένον δὲ μᾶλλον τὸ περὶ τὴν ἐν τῇ Σικελίᾳ ἄκανθαν τὴν καλουμένην κάκτον· εἰς ἣν ὅταν ἔλαφος ἐμβῇ καὶ*

II. Diod. 4, 22. Solin. c. 2.
III. Arist hist. an. 8, 27. Ael. 5, 9.
IV. Mir. ausc. c. 70. V. Paus. 9. 30, 6.
VI. Ar. hist. an. 4, 9. 9, 9. Ael. 3, 35.
VII 23. Hymn. in Merc. v. 51, ubi *συμφώνους* p. *θηλυτέρων*.
VIII. Hesych. s. v. *κάκτος*.

τραυματισθῇ, τὰ ὀστᾶ ἄφωνα καὶ ἄχρηστα πρὸς αὐλοὺς ἴσχει. ὅθεν καὶ ὁ Φιλητᾶς ἐξηγήσατο περὶ αὐτῆς εἴπας·

γηρύσαιτο δὲ νεβρὸς ἀπὸ ζωὴν ὀλέσασα,
ὀξείης κάκτου τύμμα φυλαξαμένη.

IX. Ἐν δὲ ταῖς τῶν Λημνίων νήσοις ταῖς καλουμέναις Νέαις πέρδικες οὐ γίνονται, ἀλλὰ κἂν ἴδῃ τις ἀπόλλυνται· ἔνιοι δὲ τούτου τερατωδέστερον ἱστοροῦσιν, ὅτι κἂν ἴδωσι τὴν χώραν.

X. Τῆς δὲ Βοιωτίας ἐχούσης πλήθει πολλοὺς ἀσπάλακας, ἐν τῇ Κορωνικῇ μόνῃ οὐ γίνεται τοῦτο τὸ ζῶον, ἀλλὰ κἂν εἰσαχθῇ τελευτᾷ, καθάπερ οἱ γλαῦκες ἐν Κρήτῃ, ἐν ᾗ λέγουσιν οὐδὲ ζῶον θανάσιμον οὐδὲν τὴν χώραν φέρειν.

XI. Ἐν Ἀστυπαλαίᾳ δὲ ὄφεις οὐ γίνονται, οὐδὲ ἐν Ἰθάκῃ λαγῶς, οὐδὲ ἐν Λιβύῃ ὗς ἀγρία οὐδ' ἔλαφος, οὐδὲ ἐν Ῥηνείᾳ τῇ πρὸς Δήλῳ γαλῆ, οὐδὲ μελεαγρὶς οὐδαμοῦ ἄλλη ὁρᾶται.

XII. Ἀμελησαγόρας δὲ ὁ Ἀθηναῖος ὁ τὴν Ἀτθίδα συγγεγραφὼς οὔ φησι κορώνην προσίπτασθαι πρὸς τὴν ἀκρόπολιν, οὐδ' ἔχοι ἂν εἰπεῖν ἑωρακὼς οὐδείς. ἀποδίδωσιν δὲ τὴν αἰτίαν μυθικῶς. φησὶν γάρ, Ἡφαίστῳ δοθείσης τῆς Ἀθηνᾶς συγκατακλιθεῖσαν αὐτὴν ἀφανισθῆναι, τὸν δὲ Ἥφαιστον εἰς γῆν πεσόντα προΐεσθαι τὸ σπέρμα, τὴν δὲ γῆν ὕστερον αὐτῷ ἀναδοῦναι Ἐριχθό-

2. ἴχει Meurs. || φιλίτας cod. || 3. versus habet Ath. 2. p. 71. A, ubi ψυχὴν p. ζωὴν.

IX. 6. κἂν ἴδῃ τις] *si importentur* Xyl. f. κ. κομίσῃ τ.

X. Mirab. Ausc. c. 124 et 83. Io. Lyd. d. mens. 2, 9. || 10. γίνεσθαι Xyl., γίνεται Meurs., qui tamen seq. τελευτᾷ in τελευτᾶν corr.

XI. Ar. hist. an. 8, 27. || 16. Ῥηνίᾳ Xyl. || 17. ὁρᾶται] *Leri* nomen excidisse putat Xyl. coll. Ant. Lib. c. 2.

XII. Apoll. hist. mir. c. 8.

νιον, ὃν τρέφειν τὴν Ἀθηνᾶν καὶ εἰς κίστην καθεῖρξαι καὶ παραθέσθαι ταῖς Κέκροπος παισίν, Ἀγραύλῳ καὶ Πανδρόσῳ καὶ Ἕρσῃ, καὶ ἐπιτάξαι μὴ ἀνοίγειν τὴν κίστην, ἕως ἂν αὐτὴ ἔλθῃ. ἀφικομένην δὲ εἰς Πελλήνην φέρειν ὄρος, ἵνα ἔρυμα πρὸ τῆς ἀκροπόλεως ποιήσῃ, τὰς δὲ Κέκροπος θυγατέρας τὰς δύο, Ἄγραυλον καὶ Πάνδροσον, τὴν κίστην ἀνοῖξαι καὶ ἰδεῖν δράκοντας δύο περὶ τὸν Ἐριχθόνιον· τῇ δὲ Ἀθηνᾷ φερούσῃ τὸ ὄρος, ὃ νῦν καλεῖται Λυκαβηττός, κορώνην φησὶν ἀπαντῆσαι καὶ εἰπεῖν, ὅτι Ἐριχθόνιος ἐν φανερῷ, τὴν δὲ ἀκούσασαν ῥίψαι τὸ ὄρος ὅπου νῦν ἐστί, τῇ δὲ κορώνῃ διὰ τὴν κακαγγελίαν εἰπεῖν, ὡς εἰς ἀκρόπολιν οὐ θέμις αὐτῇ ἔσται ἀφικέσθαι.

XIII. *Οὐδὲ κατὰ τὴν Σκυθῶν χώραν, ὁμοίως δὲ οὐδὲ κατὰ τὴν Ἠλείαν ἡμίονος οὐ γεννᾶται.*

XIV. *Θεόπομπος δέ φησιν, κατὰ τοὺς ἐν Θρᾴκῃ Χαλκιδεῖς εἶναί τινα τόπον τοιοῦτον, εἰς ὃν ὅ τι μὲν τῶν ἄλλων ζώων εἰσέλθῃ, πάλιν ἀπαθὲς ἀπέρχεται, τῶν δὲ κανθάρων οὐδεὶς διαφεύγει, κύκλῳ δὲ στρεφόμενοι τελευτῶσιν αὐτοῦ· διὸ δὴ καὶ τὸ χωρίον ὀνομάζεσθαι Κανθαρόλεθρον.*

XV. *Ἐν δὲ Κράννωνι τῆς Θετταλίας δύο φασὶν μόνον εἶναι κόρακας· διὸ καὶ ἐπὶ τῶν προξένων τῶν ἀναγραφομένων τὸ παράσημον τῆς πόλεως (καθάπερ ἐστὶν ἔθιμον πᾶσι προσπαρατιθέναι) ὑπογράφονται δύο κόρακες ἐφ' ἁμαξίου χαλκοῦ, διὰ τὸ μηδέ ποτε πλείους*

XIII. Herod. 4, 30. Ar. hist. an. 8, 27. Ael. 5, 8. || 15. *Ἠλίαν* Xyl.

XIV. Mir. ausc. c. 120. Theop. fr. 286 Wich. || 18. *ἀπέρχεται*] *διαφεύγει* Meurs.

XV. Mir. ausc. c. 126. Theop. fr. 85. Wich. || 22. *Κράνωνι* Meurs. || 23. *προξενιῶν* Locell.

τούτων ὦφθαι. ἡ δὲ ἅμαξα προσπαράκειται διὰ τοιαύτην αἰτίαν· ξένον γὰρ ἴσως ἂν καὶ τοῦτο φανείη. ἔστιν αὐτοῖς ἀνακειμένη χαλκῆ, ἣν ὅταν αὐχμὸς ᾖ σείοντες ὕδωρ αἰτοῦνται τὸν θεόν, καί φασι γίνεσθαι. τούτου δέ τι ἰδιαίτερον ὁ Θεόπομπος λέγει· φησὶν γὰρ ἕως τούτου διατρίβειν αὐτοὺς ἐν τῷ Κράννωνι, ἕως ἂν τοὺς νεοττοὺς ἐκνεοττεύσωσιν, τοῦτο δὲ ποιήσαντας τοὺς μὲν νεοττοὺς καταλείπειν, αὐτοὺς δὲ ἀνιέναι. (16) καὶ ἐν Ἐκβατάνοις δὲ καὶ ἐν Πέρσαις Κτησίας ἱστορεῖ παραπλήσιόν τι τούτοις· διὰ δὲ τὸ αὐτὸν πολλὰ ψεύδεσθαι παρελείπομεν τὴν ἐκλογήν· καὶ γὰρ ἐφαίνετο τερατώδης. (17) Μυρσίλος δὲ ὁ Λέσβιος ἐν τῷ ὄρει φησὶν Λεπετύμνῳ ἱερὸν Ἀπόλλωνος εἶναι καὶ ἡρῷον Λεπετύμνου, ἐφ' ᾧ, καθάπερ ἐν τῷ Κράννωνι, δύο μόνον εἶναι κόρακας, ὄντων οὐκ ὀλίγων ἐν τοῖς πλησίον τόποις.

XVI (18). Ἐν Λάτμῳ δὲ τῆς Καρίας φησὶν Ἀριστοτέλης τοὺς σκορπίους, ἐὰν μὲν τῶν ξένων τινὰ πατάξωσιν, μετρίως λυπεῖν, ἐὰν δὲ τῶν ἐγχωρίων, ἕως θανάτου κατατείνειν. (19) τῶν δὲ Λιβύων καλοῦνται Ψύλλοι τινές, παρ' οἷς ἀνάπαλίν τι γίνεται τούτου· ὑπὸ γὰρ τῶν ἀσπίδων οὗτοι μὲν οὐδὲν πάσχουσι τυπτόμενοι, τῶν δὲ λοιπῶν οὐκ ἐστὶν ὅστις διαφεύγει δηχθείς.

XVII (20). Ἐν Λυκίᾳ φύεταί τι αἰγόλεθρον, ὃ τῶν μὲν ἐγχωρίων αἰγῶν οὐδεμία γεύεται, ξένη δὲ ὅταν ἐμπέσῃ καὶ διὰ τὴν ἄγνοιαν φάγῃ τῆς βοτάνης, ἀπόλλυται διαφθαρεῖσα τὸν καλούμενον ἐχῖνον τῆς κοιλίας.

5. ἰδιαίτερον vulg., ἰδιώτερον cod. corr. Bast. || 6. Κράνωνι Meurs. || 7. τοῦτο] τοὺς Xyl. || 9. Ctes. fr. p. 243. Baehr. || in mg. cod. σημειοῦ ὅτι Κτησίας ψευστής. || 14. Κράνωνι Meurs.

XVI. Apoll. hist. mir. c. 11. Ael. 5, 14. Solin. c. 30. || 19. καταντείνειν Meurs., p. gloss. habet cens. Gott. || 20. Ψύλλιοί Xyl.

XVII. Plin. 21, 13.

XVIII (21). *Τῆς δὲ Καρυστίας καὶ τῆς Ἀνδρίας χώρας ἐστὶν πλησίον νῆσος, ἡ καλουμένη Γύαρος. ἐνταῦθα οἱ μῦες διατρώγουσιν τὸν σίδηρον. ἐν δὲ τῇ νήσῳ θανάσιμός ἐστιν ἡ ἄχερδος· κἂν εἰς ἄλλο δένδρον ἐμπήξῃς ἀφανίζει.* (22) *ποιεῖ δὲ αὐτὸ τοῦτο καὶ τὸ τῆς τρύγονος κέντρον τῆς θαλαττίας· καὶ ἐὰν εἰς τοὺς ὀδόντας ἅψῃ, κατασήπει.*

XIX (23). *Ἴδια δὲ καὶ περὶ τὰς συγκρίσεις καὶ ἀλλοιώσεις τῶν ζῴων, ἔτι δὲ γενέσεις. οἷον ἐν Αἰγύπτῳ τὸν βοῦν ἐὰν κατορύξῃς ἐν τόποις τισίν, ὥστε αὐτὰ τὰ κέρατα τῆς γῆς ὑπερέχειν, εἶθ' ὕστερον ἀποπρίσῃς, λέγουσιν μέλιττας ἐκπέτεσθαι· σαπέντα γὰρ αὐτὸν εἰς τοῦτο διαλύεσθαι τὸ ζῷον. ᾧ καὶ φαίνεται Φιλητᾶς προσέχειν, ἱκανῶς ὢν περίεργος· προσαγορεύει οὖν αὐτὰς βουγενεῖς λέγων·*

βουγενέας φάμενος προσεβήσαο μακρὰ μελίσσας.

φασὶ δὲ καὶ τὸν κροκόδειλον σκορπίους γεννᾶν καὶ ἐκ τῶν ἵππων σφῆκας γεννᾶσθαι. καί τις Ἀρχέλαος Αἰγύπτιος τῶν ἐν ἐπιγράμμασιν ἐξηγουμένων τὰ παράδοξα τῷ Πτολεμαίῳ περὶ μὲν τῶν σκορπίων οὕτως εἴρηκεν·

εἰς ὑμᾶς κροκόδειλον ἀποφθίμενον διαλύει,
σκόρπιοι, ἡ πάντα ζωοθετοῦσα φύσις.

περὶ δὲ τῶν σφηκῶν·

ἐκ νέκυος ταύτην ἵππου γράψασθε γενέθλην,
σφῆκας· ἴδ' ἐξ οἵων οἷα τίθησι φύσις.

XVIII. Mir. ausc. c. 143. Ael. 2, 36. Steph. B. s. v. *Γύαρος*. ‖ 3. *διατρώγουσι* Meurs. ‖ 4. *ἐμπήξῃς* cod., *ἐμπλήξῃς* edd.

XIX. Virg. georg. 4, 295 sqq. Ael. 2, 57. 1, 28. 2, 33. ‖ 21. epigr. babet Jacobs anth. Pal. 2. p. 758. ‖ 25. *σφῆκας· ἴδ' ἐξ οἵων* corr. Jac., *σφήκασι δὲ ζώων* Xyl., *σφήκεσσιν ζώων* Meurs. qui et corr. *σφῆκας, ἰδὲ ζ.*, Brunck. *σφῆκες· ἰδὲ ζ.*

ὁ δὲ Ἀριστοτέλης καὶ ἐκ τῶν σισυμβρίων φησὶν σαπέντων σκορπίους γίνεσθαι.

XX (24). Οὐχ ἧττον δὲ τούτων θαυμάσια τὰ φθαρτικὰ τῶν ὠφελούντων, οἷον ὁ γαλεώτης ὅταν ἐκδύῃ τὸ γῆρας, ἐπιστραφεὶς κατέπιεν· ἐπιληψίας γάρ ἐστι, φασίν, ὡς ὁ Ἀριστοτέλης καταγράφει, φάρμακον. ὡσαύτως δ᾽ ἡ φώκη μετὰ τὸ τεκεῖν τὸν θόρον· καὶ γὰρ τοῦτο πρὸς τὴν αὐτὴν ἀρρωστίαν χρήσιμον. τὰς δὲ ἵππους τὸ ἐπιφυόμενον τοῖς ἐμβρύοις ἱππομανὲς ἀπεσθίειν· γίνεσθαι δὲ τοῦτο ἐπὶ τοῦ μετώπου καὶ πρὸς πολλὰ ζητεῖσθαι. τὴν δὲ ἔλαφον τὸ δεξιὸν κέρας κατορύσσειν· εἶναι δὲ καὶ τοῦτο ἐν πολλοῖς χρήσιμον. ταῦτα μὲν οὖν εἴτε κατὰ προαίρεσιν εἴτε κατὰ τύχην οὕτως ἔχει, πολλῆς ἐστιν ἐπιστάσεως δεόμενα.

XXI (25). Ὁ δὲ πολύπους ἐν τῷ χειμῶνι τὰς πλεκτάνας αὐτοῦ κατεσθίει· τοῦτ᾽ ἔστιν

ἤματι χειμερίῳ, ὅτ᾽ ἀνόστεος ὃν πόδα τέμνει.

τῶν δὲ γαλεῶν τὰ ἔμβρυα ἐξιόντα ἐκ τῆς κοιλίας νέμεται καὶ πάλιν εἰσδύεται κατὰ τὸ στόμα. ἡ δὲ λέαινα δὶς οὐ κυίσκεται· τοῖς γὰρ ἐμβρύοις, ὥς φησιν Ἡρόδοτος, συνεκβάλλει τὰς μήτρας. οὐδὲ ἔχιδνα δίς· ἐσθίειν γὰρ αὐτῆς τὴν κοιλίαν τὰ ἔμβρυα.

XXII (26). Ἡ νυκτερὶς δὲ μόνον τῶν ὀρνέων ὀδόντας ἔχει καὶ μαστοὺς καὶ γάλα. φησὶ δὲ ὁ Ἀριστο-

XX. Mir. ausc. c. 75 sq. || 4. φθαρτικὰ est corr. Xyl., cod. φθαρ..κά. || 7. ἡ φώκη ἐξεμεῖ τὸν ὀρόν vel μετὰ τὸ ἁλίσκεσθαι (s. ἁλῶναι) ἐξεμεῖ τ. ὀ. vel λέγεται ἐξεμεῖν τ. ὀ. corr. Niclas.

XXI. Ar. hist. an. 8, 3. 6, 10. mir. ausc. c. 165. Ael. 1, 27. 2, 55. 9, 65. || 17. Hesiod. opp. v. 524, ubi τένδει p. τέμνει, Etym. M. p. 327. τένθει. || 19. εἰσδύεται cod., ἐκδύεται Xyl., ἐνδύεται Meurs. || 20. Herod. 3, 108.

XXII. Ar. hist. an. 3, 16.

'τέλης καὶ φώκην καὶ φάλαιναν ἴσχειν γάλα. τούτων δὲ οὐχ ἧττον καταγράφει τερατῶδες· ἐν Λήμνῳ γάρ φησιν ἀμελχθῆναι γάλα τράγου τοσοῦτον, ὥστε τροφαλίδας γενέσθαι.

XXIII (27). *Τῶν δὲ ἀλκυόνων οἱ ἄρσενες κηρύλοι καλοῦνται· ὅταν οὖν ὑπὸ τοῦ γήρως ἀσθενήσωσι καὶ μηκέτι δύνωνται πέτεσθαι, φέρουσιν αὐτοὺς αἱ θήλειαι ἐπὶ τῶν πτερῶν λαβοῦσαι. καί ἐστι τὸ ὑπὸ Ἀλκμᾶνος λεγόμενον τούτῳ συνῳκειωμένον· φησὶν γὰρ ἀσθενὴς ὢν διὰ τὸ γῆρας καὶ τοῖς χοροῖς οὐ δυνάμενος συμπεριφέρεσθαι οὐδὲ τῇ τῶν παρθένων ὀρχήσει·*

οὔ μ' ἔτι, παρθενικαὶ μελιγάρυες, ἱερόφωνοι,
γυῖα φέρειν δύναται· βάλε δή, βάλε κηρύλος εἴην,
ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτῆται
νηλεὲς ἦτορ ἔχων, ἁλιπόρφυρος εἴαρος ὄρνις.

XXIV (28). *Ἱκανῶς δὲ καὶ ὁ ποιητὴς λέγεται παρὰ πάντων ἐπιμελὴς καὶ πολυπράγμων εἶναι· ὁ γὰρ Ὀδυσσεὺς ἐπιφερομένων αὐτῷ τῶν κυνῶν ἐν τῇ πρὸς τὸν συβώτην ἀναβάσει*

ἕζετο κερδοσύνῃ, σκῆπτρον δέ οἱ ἔκπεσε χειρός.

οὐ γάρ φασιν, ὅταν διωκόμενός τις συγκαθίσῃ, ἀδικεῖν τοὺς κύνας.

XXV (29). *Θαυμαστὰ δὲ καὶ τὰ τοῖς τόποις συναφομοιούμενα, οἷον ὅ τε πολύπους· γίνεται γὰρ ἀδιάγνωστος τῷ χρώματι τοῦ ἐδάφους καὶ παντὸς ᾧ ἂν περιπλακῇ, ὥστε εἶναι δύσεργον αὐτοῦ τὴν θήραν·*

3. *προφαλίδας* Xyl.

XXIII. Hesych. s. v. *κείρυλος*. Tzetz. ad Lyc. v. 387. Schol. Ar. av. v. 302. Schol. Theocr. 7, 57.

XXIV. 20. Odyss. 14, 31. ‖ 21. *συγκαθείσῃ* Xyl.

XXV. 24. *ὅ τε*] *ὅτε* vulg., *ὅγε* Nicl. ‖ 25. *ἐὰν* Xyl.

ὅθεν δῆλον καὶ ὁ ποιητὴς τὸ θρυλλούμενον ἔγραψεν·

πουλύποδος ὡς τέκνον ἔχων ἐν στήθεσι θυμόν,
τοῖσιν ἐφαρμόζειν.

(30) *γίνεται δὲ ταὐτὸν καὶ περὶ τὸν χαμαιλέοντα· καὶ γὰρ τοῖς στελέχεσι τῶν δένδρων καὶ τοῖς φύλλοις καὶ τῇ γῇ τὸν αὐτὸν τρόπον ἅπαντι τόπῳ συμμεταβάλλει τὴν χροιάν.* (31) *Ἀριστοτέλης δέ φησι καὶ τὸν καλούμενον τάρανδον τοῦτο πάσχειν, ὄντα τετράπουν καὶ σχεδὸν ἴσον ὄνῳ καὶ παχύδερμον καὶ τετριχωμένον, καὶ θαυμαστὸν εἶναι πῶς αἱ τρίχες οὕτως ὀξέως ἀλλοιοῦνται.*

XXVI (32). *Γίνεται δὲ καὶ βοτάνη τις, ἣ καλεῖται τριπόλιον· φύεται δ' ἐν τοῖς ἐπιθαλαττίοις ἐπὶ τῶν πετρῶν, ἀφίησι δὲ ἄνθος, ὃ τῆς ἡμέρας τρὶς μεταστρέφεται τὸ χρῶμα· γίνεται δὲ ὅτε μὲν λευκόν, ὅτε δὲ φοινικοῦν, ὅτε δὲ μήλινον. καὶ μὴν τάς τε λοιπὰς ἐντρεχείας τῶν ζώων, οἷον ἐν μάχαις, ἐν θεραπείαις τραυμάτων, ἐν παρασκευαῖς τῶν πρὸς τὸν βίον ἀναγκαίων, ἐν φιλοστοργίαις, ἐν μνήμαις, ἀκριβέστατ' ἄν τις ἐκ τῆς τοῦ Ἀριστοτέλους συναγωγῆς καταμάθοι, ἐξ ἧς ἡμεῖς πρῶτον ποιησόμεθα τὴν ἐκλογήν.*

XXVII (33). *Φησὶ περὶ Κωνώπων τῆς Μαιώτιδος λίμνης τοὺς λύκους παρὰ τῶν ἁλιέων λαμβάνοντας τροφὴν φυλάττειν τὴν θήραν· ἂν δ' ὑπολάβωσί τι ἀδικεῖσθαι, λυμαίνεσθαι τὰ λίνα καὶ τοὺς ἰχθύας αὐτῶν.*

1. *δῆλον*] *δηλονότι* Bast, *δὴ* Schaef. ‖ 2. hos versus ex Clearcho sic refert Ath. 7. p. 317. A. *πουλύποδός μοι, τέκνον, ἔχων νόον, Ἀμφίλοχ' ἥρως, τοῖσιν ἐφαρμόζου, τῶν κεν κατὰ δῆμον ἵκηαι.* ‖ 7. mir. ausc. c. 30. ‖ 8. *τάραντον* vulg.

XXVI. Dioscor. 4, 135. ‖ 12. *ἐπιθαλαττίοις* (*δι* supra *ττ*) cod. ‖ 15. *μὴν*] *μὲν* Beckm.

XXVII. Ar. hist. an. 9, 24.

XXVIII (34). Ἐν Θράκῃ δὲ τῇ κληθείσῃ ποτὲ Κεδροπόλει τοὺς ἀνθρώπους καὶ τοὺς ἱέρακας κοινῇ θηρεύειν τὰ ὀρνιθάρια· τοὺς μὲν γὰρ σοβεῖν τοῖς ξύλοις, τοὺς δὲ ἱέρακας καταδιώκειν, τὰ δὲ φεύγοντα εἰς τοὺς ἀνθρώπους ἐμπίπτειν· διὸ καὶ μεταδιδόναι τοῖς ἱέραξιν αὐτοὺς τῶν ληφθέντων.

XXIX (35). Τὰς δ' ἐλάφους λέγει τίκτειν παρὰ τὰς ὁδούς, φευγούσας τὰ θηρία· ἥκιστα γὰρ ἐπιτίθεσθαι τοὺς λύκους ἐνθάδε· ἄγειν δὲ καὶ τὰ τέκνα ἐπὶ τῶν σταθμῶν, ἐθιζούσας οὗ δεῖ ἀποφεύγειν· εἶναι δὲ τοῦτο πέτραν ἀπορρῶγα, μίαν ἔχουσαν ὁδόν. ἤδη δὲ διειλῆφθαι ἀχαΐνην ἔλαφον κιττὸν ἔχουσαν ἐπὶ τῶν κεράτων ὡς ἂν ἐνύγρων ὄντων. ἁλίσκεσθαι δὲ ἐλάφους καὶ συριττόντων καὶ ᾀδόντων, ὥστε καὶ κατακλίνεσθαι ὑπὸ τῆς ἡδονῆς.

XXX (36). Τὰς δ' ἐν Κρήτῃ αἶγας τὰς ἀγρίας, ὅταν τοξευθῶσι, ζητεῖν τὴν δίκταμνον· δοκεῖ γὰρ ἐκβλητικὸν εἶναι τῶν βελῶν.

XXXI (37). Τὴν δὲ πάρδαλιν φάναι τινὰς κατανενοηκυῖαν, ὅτι τὰ ζῷα τῇ ὀσμῇ αὐτῆς χαίρει, ἀποκρύπτειν ἑαυτὴν καὶ οὕτως θηρεύειν τὰ προσπορευόμενα ἐγγύς.

XXXII (38). Τὸν δὲ ἰχνεύμονα, ὅταν ἴδῃ ὄφιν

XXVIII. Mir. ausc. c. 118. ‖ 2. *Κεδρειπόλει* Ar. hist. an. 9, 24, *Κεδρίπολι* Xyl., *Κεδροπόλει* Meurs. qui et corr. *Κεκροπίδι*, Holst. *Κερδυλίῳ πόλει*.

XXIX. Hist. an. 6, 26. 9, 6. ‖ 10. *τὸν σταθμὸν — τοῦτον — ἔξοδον* Salm., *τοὺς σταθμοὺς — τοῦτο — εἴσοδον* Ar. ‖ 12. in mg. cod. *ἀχαΐναι καὶ σπαθίναι, ἡλικίαι τινὲς ἐλάφων.* ‖ 13. *ἂν*] *ἔτι* coni. Xyl. ‖ 14. *κατακηλεῖσθαι* Schneid. ex Ar.

XXX. Mir. ausc. c. 4. ‖ 17. *δίκταμνον* cod., *δίκταμον* edd.

XXXI. Hist. an. 9, 7. probl. 13, 4. Ael. 5, 40. ‖ 20. *ὑποκρύπτειν* Meurs. XXXII. Hist. an. 9, 7.

τὴν ἀσπίδα, οὐ πρότερον ἐπιτίθεσθαι πρὶν καλέσαι βοηθοὺς ἄλλους· πρὸς δὲ τὰ δήγματα καὶ τὰς πληγὰς πηλῷ καταπλάττειν ἑαυτούς· βρέξαντας γὰρ τὸ σῶμα κυλίεσθαι ἐν τῷ κονιορτῷ.

XXXIII (39). Τῶν δὲ κροκοδείλων λέγει τοὺς τροχίλους ἐκκαθαίρειν τοὺς ὀδόντας καὶ ἀπὸ τούτων τρέφεσθαι, τὸν δὲ ὠφελούμενον αἰσθάνεσθαι, καὶ ὅταν ἐξελθεῖν βούληται ὁ τρόχιλος, τὸν αὐχένα κινεῖν, ἵνα μὴ συνδηχθῇ.

XXXIV (40). Τὴν δὲ χελώνην, ὅταν ὄφεως φάγῃ, ἐπεσθίειν ὀριγάνου. καί ποτέ τινος παρατηρήσαντος καὶ ἐκτίλαντος τὴν ὀρίγανον οὐκ ἔχουσαν ἐπιφαγεῖν τελευτῆσαι.

XXXV (41). Τὴν δὲ γαλῆν, ὅταν μάχηται μετὰ τοῦ ὄφεως, τοῦ πηγάνου προεσθίειν· πολέμιον γὰρ εἶναι τῷ ὄφει τὴν ὀσμήν. καὶ πρὸς τὰς πληγὰς δὲ τοῦ ὄφεως βοηθεῖν τὸ πήγανον ἐν ἀκράτῳ διηθηθὲν καὶ ποθέν. καὶ γὰρ ὗς ὅταν ὑπὸ τοῦ ὄφεως δηχθῇ, φέρεται εὐθέως ἐπὶ τοὺς ποταμοὺς καὶ ζητεῖ τὸν καρκῖνον. ἔστι δὲ καὶ τοῦτο τῶν καταγραφομένων καὶ βοηθεῖ πρὸς τὰς πληγὰς τοῦ ὄφεως ἰσχυρῶς.

XXXVI (42). Ἡ φάττα δέ, ὅταν πληγῇ, τὴν ὀρίγανον ἔσαξεν εἰς τὸ ἕλκος καὶ γίνεται τοῦτον τὸν τρόπον ὑγιής.

XXXVII (43). Ὁ δ' οὖν Ἀριστοτέλης τὴν χελιδόνα φησὶν ἐν τῇ σκηνοποιίᾳ συγκαταπλέκειν τοῖς κάρ-

XXXIII. Mir. ausc. c. 7. || 8. βούλεται Meurs.
XXXIV. Mir. ausc. c. 11.
XXXV. Hist. an. 9, 7. Plin. 8, 27. 20, 13.
XXXVI. Hist. an. 9, 7. Ael. 5, 46.
XXXVII. Hist. an. 9, 8. Ael. 3, 24. 25. Plin. 10, 33.

φεσιν τὸν πηλόν, κἂν ἐλλίπῃ πηλός, βρέχουσαν αὐτὴν κυλίεσθαι καὶ τοῖς πτέρυξιν ἀναλαμβάνειν, στιβαδοποιεῖσθαί τε καθάπερ ἄνθρωπον κάτωθεν ὑποτιθεῖσαν τὰ σκληρά· τοῖς τε νεοττοῖς τὴν τροφὴν διδόναι κατὰ μέρος, παρατηροῦσαν ἵνα μὴ δὶς τοῖς αὐτοῖς δῷ· τὴν δὲ κόπρον μικρῶν μὲν ὄντων αὐτὴν ἐκβάλλειν, αὐξηθέντων δὲ διδάσκειν ἔξω στραφέντα τὰ νεόττια ἀφοδεύειν.

XXXVIII (44). Τὰς δὲ περιστερὰς οὐ θέλειν πλείοσιν συνευνάζεσθαι οὐδὲ προλείπειν τὴν συνουσίαν, ἐὰν μὴ χῆρος ἢ χήρα γένηται· τοῖς δὲ νεοττοῖς τῆς ἁλμυριζούσης γῆς διαμασησαμένας εἰσπτύειν εἰς τὸ στόμα προπαρασκευαζούσας τροφήν.

XXXIX (45). Τοὺς δὲ πέρδικας, ὅταν θηρεύῃ τις τοὺς νεοττούς, προκυλίεσθαι τοῦ θηρεύοντος ὡς ἐπιλήπτους ὄντας καὶ ἐπισπᾶσθαι, ἕως ἂν διαδρᾷ τὰ νεόττια. διὰ δὲ τὸ εἶναι ἀφροδισιαστικοὺς λυμαίνεσθαι τὰ ᾠά, ἵνα μὴ ἐπωάζῃ ἡ θήλεια, τὴν δὲ ἀντιμηχανᾶσθαι καὶ διαδρᾶσαν τίκτειν. τοὺς δὲ χήρους μάχεσθαι πρὸς αὐτούς, τὸν δὲ ἡττηθέντα ἀκολουθεῖν ὀχευόμενον ὑπὸ μόνου τούτου.

XL (46). Τὰς δὲ γεράνους εἰς ὕψος πέτεσθαι, ἵνα καθορῶσιν μακράν, κἂν ἴδωσι νέφη καὶ συστροφὴν ἡσυχάζειν· ἔχειν δὲ καὶ ἡγεμόνα· τὰς μὲν οὖν ἄλλας καθεύδειν ὑπὸ τὴν πτέρυγα τὰς κεφαλὰς θείσας, τὸν δὲ ἡγεμόνα γυμνὴν ἔχειν προορώμενον, κἂν αἴσθηταί [τι] σημαίνειν ταῖς ἄλλαις βοῶντα.

1. αὐτὴν Xyl. ‖ 7. νεόττια om. Meurs.
XXXVIII. Hist. an. 9, 8. Ael. 3, 44. 45.
XXXIX. Hist. an. 9, 9. Ael. 3, 16. Plin. 10, 33. ‖ 17. ἵνα δὲ μὴ Xyl., ἵνα δὴ μὴ Nicl. ‖ 19. αὐτοὺς vulg.
XL. Hist. an. 9, 11. Ael. 3, 13. Plin. 3, 23. ‖ 26. τι add. ex Ar.

XLI (47). *Τοὺς δὲ πελεκάνας τὰς λείας κόγχας καταπίνειν ἱστορεῖ, ἔπειτα ὀλίγον κατασχόντας ἐν τῷ ἄνω τῆς κοιλίας ἐξεμεῖν κεχηνυίας, εἶτα οὕτω τὰ κρέα ἐξαιροῦντας ἐσθίειν.*

XLII (48). *Γυπὸς δὲ λέγεται ὑπό τινων ὅτι οὐδεὶς ἑώρακε νεοττὸν οὐδὲ νεοττείαν· διὸ καὶ Ἡρόδωρον τὸν Βρύσωνος τοῦ σοφιστοῦ πατέρα ἀπό τινος αὐτοὺς ἑτέρας φάναι γῆς εἶναι μετεώρου. τίκτειν δ' οὖν ἔνια πρὸς ἀβάτοις πέτραις.*

XLIII (49). *Λέγειν δέ τινας καὶ τὸ κιννάμωμον ὄρνεον εἶναι καὶ τὰ ἀρώματα φέρειν καὶ τὰς νεοττείας ἐκ τούτου ποιεῖσθαι, νεοττεύειν δ' ἐφ' ὑψηλῶν δένδρων καὶ ἀβάτων, τοὺς δὲ ἐγχωρίους μόλυβδον τοῖς οἰστοῖς προστιθέντας τοξεύειν καὶ καταρρηγνύειν τὰς νεοττείας.*

XLIV (50). *Τὸν δὲ κόκκυγα δοκεῖν ὑποβολιμαίους τοὺς νεοττοὺς ποιεῖν διὰ τὸ δειλὸν εἶναι καὶ μὴ δύνασθαι ἀμύνειν· τίλλεσθαι γὰρ ὑπὸ τῶν ἐλαχίστων. τὰ δὲ ὑποδεξάμενα τῶν ὀρνέων ἐκβάλλειν τοὺς ἑαυτῶν νεοττοὺς διὰ τὸ καλὸν εἶναι τὸν τοῦ κόκκυγος.*

XLV (51). *Τὸν δὲ αἴγιθον αἶγα θηλάζειν προσπετόμενον, ὅθεν καὶ τὴν προσηγορίαν εἰληφέναι· τὸν δὲ μαστὸν, ὅθεν ἂν ἑλκύσῃ, ἀποτυφλοῦσθαι. ἔστι δὲ χωλὸν*

XLI. Hist. an. 9, 11. mir. ausc. c. 14. || 1. *λείας* ex Ar. corr. Bochart. *θηλείας* vulg., *τάσδε λείας* Nicl. || 2. *ἱστορεῖται* Boch.

XLII. Hist. an. 6, 5. 9, 12. || in mg. cod. *σημειωτέον, ὅτι περὶ τούτων εἰς τὴν ἑξαήμερον φησὶν ὁ μέγας Βασίλειος, οὕς γε καὶ ἀσυνδυάστως φασὶν ὡς τὰ πολλὰ τίκτεσθαι.*

XLIII. Hist. an. 9, 14. Herod. 3, 111. Ael. 17, 21. Plin. 10, 33. Eust. ad Dion. v. 944. || 13. *μόλιβδον* vulg. || 14. *περιτιθέντας* Meurs.

XLIV. Hist. an. 9, 20. Ael. 3, 30. Plin. 10, 9.

XLV. Hist an. 9, 21. et 16, ex quibus diversa duo confusa esse apparet. || 22. *φασὶ δ', ὅταν θηλάσῃ τὸν μαστόν, ἀποσβέννυσθαί τε καὶ τὴν αἶγα ἀποτυφλοῦσθαι* Ar.

τὸ ὄρνεον, ὅθεν καὶ Καλλίμαχος ὁ ἐκ τοῦ Αἰγύπτου περίτρανος εἶναι βουλόμενος ἔφησεν προείπας ὑπὲρ ἄλλου τινὸς ὀρνέου, αἴγιθος ἀμφιγυνήεις. οὐ σώζεται οὖν αὐτῷ ὁ λόγος· ἔστι γὰρ οὐκ ἀμφότερα χωλόν. τὸ δ' ἀμφιγυνήεις οὐ τοιοῦτον, ἀλλ' ὡς ἐπὶ τοῦ Ἡφαίστου εἴρηται, ὅταν ἑκατέρους ᾖ κεχωλωμένος. περὶ μὲν οὖν τοῦ Καλλιμάχου διὰ τὸ ἀπίθανον προήχθημεν εἰπεῖν.

XLVI (52). Ὁ δὲ Ἀριστοτέλης φησίν, τῷ ἀετῷ γηράσκοντι τὸ ῥύγχος αὐξάνεσθαι καὶ γαμψοῦσθαι καὶ τέλος ἀποθνήσκειν λιμῷ. τὴν φήνην δὲ τοὺς ἐκβληθέντας τῶν νεοττῶν ὑπὸ τοῦ ἀετοῦ λαμβάνειν καὶ ἐκτρέφειν. τὸν δὲ ἀετὸν ἐπαναγκάζειν τὰ τέκνα ἔτι ψιλὰ ὄντα πρὸς τὸν ἥλιον βλέπειν, τὸ δὲ δακρύον αὐτῶν καὶ μὴ θέλον ἀντοφθαλμεῖν ἀποκτείνειν.

XLVII. Τῶν ἰχθύων δὲ τὸν ἁλιέα καλούμενον βάτραχον θηρεύειν τὰ ἰχθύδια τοῖς ἀπὸ τῶν ὀφθαλμῶν ἀποκρεμαμένοις, ὧν τὸ μὲν μῆκός ἐστι τριχοειδές, ἐπ' ἄκρου δὲ προσκείμενον ὥσπερ δέλεαρ στρογγύλον· ταῦτ' οὖν κρύψαντα ἑαυτὸν προτείνειν.

XLVIII (53). Τὴν δὲ νάρκην καθαμμίσασαν ἑαυτὴν τὰ μὴ δυνάμενα τῶν ἰχθύων. ὅταν συνέγγυς ᾖ, κολυμβᾶν διὰ τὴν νάρκησιν συλλαμβάνειν.

XLIX (54). Τὰς δὲ καλουμένας ἀλώπεκας, ὅταν

3. Callim. fr. 321. Bentl.

XLVI. Hist. an. 9, 22. 23. Plin. 10, 3. ‖ 9. *αὐαίνεσθαι* vulg.

XLVII. Hist. an. 9, 25. Ael. 9, 24. Plin. 9, 42. ‖ 16. *ὑπὸ* coni. Nicl. ‖ 17. *τροχοειδὲς* vulg., *τριχῶδες* Schneid. ‖ 18. *στρογγύλον* ante *προσκείμενον* ponit Schneid. ‖ *τοῦτ'* Xyl.

XLVIII. Hist. an. 9, 25. Ael. 1, 36. 9, 14. Plin. 9, 42. ‖ 20. *καθαλμίσασαν* vulg., ex Ar. corr. Nicl., *καταμμίσασαν* Schneid. ‖ 21. *ἰχθυδίων* Nicl. ‖ 22. *νάρκησίν τε συλλ.* Xyl.

XLIX. Hist. an. 9, 25. Ael. 9, 12. Plin. 9, 43.

αἴσθωνται ὅτι τὸ ἄγκιστρον καταπεπώκασιν, ἀναδραμούσας ἄνωθεν τῆς ὁρμιᾶς ἀποτρώγειν.

L (55). Τὸν δὲ πολύποδα κατατίθεσθαι τροφὴν εἰς τὰς θαλάμας, καὶ ὅταν τὰ χρήσιμα ἀναλώσῃ, τὰ ἀχρεῖα ἐκβάλλειν, καὶ τὰ συνερχόμενα τῶν ἰχθυδίων ἐπὶ τὰ ἐκβεβλημένα θηρεύειν ποιοῦντα τὸ χρῶμα παραπλήσιον οἷς ἂν ἐγγὺς ᾖ λίθοις· καὶ ὅταν φοβηθῇ δὲ τοῦτο ποιεῖν αὐτόν.

LI (56). Ἰδὲ καὶ τὸν ναυτίλον πολύποδα οἷς ποιεῖ περιττόν· ἔχει μὲν γὰρ ὄστρακον, ὃ καταστρέψας ἀναφέρεται, ἵνα ῥᾴδιον ἀνενεχθῇ κενόν· ἄνωθεν δὲ γενόμενον μεταστρέφειν· ἔχειν δὲ μεταξὺ τῶν πλεκτανῶν ἐπί τι συνεχὲς οἷον ὑμένα, καὶ τούτῳ ὅταν πνευμάτιον ᾖ ὥσπερ ἱστίῳ χρῆσθαι, ἀντὶ πηδαλίων δὲ παρακαθιέναι τῶν πλεκτανῶν.

LII (57). Τὰς δὲ μελίττας θυμιωμένας ὑπὸ τοῦ καπνοῦ καὶ κακοπαθούσας τότε μάλιστα μέλι ἐσθίειν, τὸν δὲ λοιπὸν χρόνον φείδεσθαι, ὡς τροφῆς χάριν ἀποτιθεμένας. τοῖς ἀπὸ τῶν δένδρων δὲ δακρύοις διαχρίειν τὸ σμῆνος τῶν ἄλλων ἕνεκεν θηρίων ἃς δὲ ἂν ἀποκτείνωσιν αἱ χρησταὶ μέλιτται, πειρᾶσθαι μὲν αὐτὰς ἔξω τοῦτο ποιεῖν· ἐὰν δὲ ἔσω τοῦ σμήνους ἀποκτείνωσιν ἐκφέρειν. τοὺς δὲ φῶρας καλουμένους κακουργεῖν, ἐὰν λάθωσιν παρεισελθόντες· εἰσέρχονται δὲ σπανίως· τηρεῖσθαι γὰρ αὐτοὺς καὶ ἐπὶ πασῶν φύλακας εἶναι. εἶναι δὲ

* L. Hist. an. 9, 25. Plin. 9, 29. || 6. ποιοῦντα cod., ποιοῦνται δὲ edd., ποιεῖσθαι Locell. || 8. ταυτὸν τοῦτο Bast.

LI. Hist. an. 9, 25. Ael. 9, 34. Plin. 9, 29. || 10. ἄνω φέρεται Meurs. || 11. καινόν Xyl., καινόν cod., κενῷ corr. Schneid. ex Ar., item post συνεχὲς et πνεῦμά τι. || 12. μεταστρέφει· ἔχει Meurs.

LII. Hist. an. 9, 27. 28. Plin. 11, 6 sq. || 17. μέλι] μὲν vulg. corr. Schneid. || 19. διαχρίειν Schneid., vulg. δεῖ χρίειν. || 25. ἐπὶ πασῶν] ἐπ' εἰσόδῳ s. ἐπὶ πασῶν εἰσόδων Schn.

αὐτὰς τεταγμένας ἐφ' ἑκάστῳ τῶν ἔργων, καὶ τὰς μὲν ἀνθοφορεῖν, τὰς δὲ κατορθοῦν τὰ κηρία. δυσχεραίνειν δ' αὐτὰς καὶ τῇ δυσωδίᾳ τῆς τροφῆς καὶ τῷ μύρῳ, καὶ τὸ περίττωμα δὲ ἔξω ἀφιέναι. καὶ τὰς μὲν πρεσβυτέρας εἴσω ἐργάζεσθαι. σφῆκα δ' ἂν λάβῃ τις τῶν σκελῶν καὶ τοῖς πτεροῖς ἐᾷ βομβεῖν, προσπέτεσθαί φησιν τοὺς ἀκέντρους, τῶν δ' ἐχόντων τὸ κέντρον οὐδένα.

LIII (58). *Τὸν δὲ μόνωτον γίνεσθαι μέν φασιν ἐν Παιονίᾳ ἐν τῷ ὄρει Μαρσάνῳ, ὀδόντας δὲ τοὺς ἄνωθεν οὐκ ἔχειν, ὥσπερ βοῦν, οὐδ' ἄλλο τῶν δικεράτων οὐδέν, καὶ τἄλλα προσεμφερὲς εἶναι τῷ ταύρῳ. διωκόμενον δὲ προσαφοδεύειν πόρρωθεν, καὶ τὴν κόπρον, ὅταν πεφοβημένος τοῦτο ποιήσῃ, ἐπικάειν οὕτως ὥστε τὰς τρίχας ἀπορρεῖν τῶν κυνῶν· ἂν δ' ἄνευ φόβου τοῦτο ποιήσῃ, οὐδὲν πάσχειν οὐδὲ βλάπτεσθαι.*

LIV. * ὃ δ' ἂν ὀχεύσῃ καὶ ἔγκυον ποιήσῃ, τούτου πάλιν οὐχ ἅπτεσθαι. (59) τῷ δὲ Σκυθῶν βασιλεῖ ἵππον φασὶ γενναίαν γενέσθαι· ταύτῃ τὸν ἐξ αὐτῆς γεννηθέντα πῶλον προσάγειν, ἵνα ὀχεύσῃ, τὸν δ' οὐ θέλειν· ὡς δὲ περικαλύψαντες προσήγαγον τὴν ἵππον ἀναβῆναι, ἀποκαλυφθείσης δὲ ἰδόντα τὸ πρόσωπον φεύγειν καὶ κατακρημνίσαι ἑαυτόν.

5. *καὶ τοῖς προτέροις βομβεῖ προπέτεσθαι* vulg. ex Ar corr. Meurs.

LIII. Mir. ausc. c. 1. ‖ 8. *μόνωτον*] f. *μόνωπον* s. *μόναπον*. ‖ 14. *κυνῶν*] *κτηνῶν* vulg.

LIV. Hist. an. 9, 33. ‖ 16. *ὃ — ἅπτεσθαι* in edd. male cum c. 53. coaluerunt. principium capitis excidisse patet ex Ar. l. l. *πάντων δὲ τιθασσότατον καὶ ἡμερώτατον τῶν ἀγρίων ἐστὶν ὁ ἐλέφας· πολλὰ γὰρ καὶ παιδεύεται καὶ ξυνίησιν, ἐπεὶ καὶ προσκυνεῖν διδάσκονται τὸν βασιλέα. ἔστι δὲ καὶ εὐαίσθητον καὶ τῇ συνέσει τῇ ἄλλῃ ὑπερβάλλον. ὃ δ' ἂν* etc. ‖ 17. *οὐχὶ* Meurs. ‖ 18. *γενναῖον* Xyl., *γενναῖον* cod.

LV (60). *Τῶν θαλαττίων δὲ ζώων ἡμερώτατον εἶναι δελφῖνα· καὶ γὰρ πρὸς παῖδας ἐρωτικῶς ἔχειν, οἷον περὶ Τάραντα καὶ Καρίαν καὶ ἄλλους τόπους πολλούς. ἐν δὲ Καρίᾳ δεθέντος δελφῖνος καὶ τραύματα λαβόντος πολλὰ παραγενέσθαι πολλοὺς ἐπὶ βοήθειαν εἰς τὸν λιμένα, ἕως ἀφῆκεν ὁ ἁλιεύς.*

LVI (61). *Περὶ δὲ τοῦ τόκου τῶν λύκων μυθικόν τι τελείως διεξέρχεται καὶ ὅμοιός ἐστι καὶ τῷ συνειδότι. φησὶν γὰρ αὐτοὺς ἅπαντας ἐν δεκαδύο [ἡμέραις] τοῦ ἐνιαυτοῦ τίκτειν, εἶναι δὲ τούτου αἴτιον, ὡς ὁ λόγος, ὅτι ἐν ιβ′ ἡμέραις τὴν Λητὼ παρεκόμισαν ἐξ Ὑπερβορέων εἰς Δῆλον λύκαιναν φαινομένην.*

LVII (62). *Τὴν δὲ γλαῦκα καὶ τὴν κορώνην πολεμίας εἶναι, τὴν μὲν κορώνην τῆς γλαυκὸς μεθ' ἡμέραν διὰ τὸ μὴ βλέπειν τὴν γλαῦκα, τὴν δὲ γλαῦκα τῆς κορώνης νύκτωρ διὰ τὸ τὴν κορώνην μὴ ὁρᾶν· διὸ καὶ κρατεῖν αὐτῶν τὴν μὲν νύκτωρ, τὴν δὲ μεθ' ἡμέραν.*

LVIII (63). *Καὶ τὸν ὄνον καὶ τὸν αἴγιθον πολεμεῖν ἑαυτοῖς· παριόντα γὰρ ξύεσθαι εἰς τὰς ἀκάνθας· διά τε οὖν τοῦτο καὶ ὅταν ὀγκήσηται, ἐκβάλλειν τὰ ᾠὰ τοῦ αἰγίθου καὶ τοὺς νεοττοὺς φοβουμένους ἐκπίπτειν· τὸν δὲ διὰ τὴν βλάβην ταύτην κολάπτειν τὰ ἕλκη αὐτοῦ ἐπιπετόμενον.*

LV. Hist. an. 9, 35. Ael. 5, 6. Plin. 9, 8.

LVI. Hist. an. 6, 29. Ael. 4, 4. Plin. 8, 22. ‖ 9. *ἡμέραις* ex Ar. add. Meurs.

LVII. Hist. an. 9, 2. Ael. 3, 9. 5, 48. Plin. 10, 17. 74. ‖ 14. *πολεμίας* cod., *πολεμίους* edd. ‖ post *γλαυκὸς* aliquid excidisse, velut *τὰ ᾠὰ κατεσθίειν ὑφαρπάζουσαν* et deinde *τὰ* ante *τῆς*, putat ex Arist. l. l.

LVIII. Hist. an. 9, 2. Ael. Plin. l. l. ‖ 19. *λύεσθαι* Xyl., corr. Meurs. ‖ 20. *ὀγκήσαιτο* vulg. ‖ 21. *τοῦ*] vulg. *τῆς*, cod. *τῆς* corr. Bast.

LIX (64). *Καὶ τὸν αἰσάλωνα δὲ πολέμιον εἶναι τῇ ἀλώπεκι, τὸν δὲ κόρακα καὶ τὴν ἀλώπεκα φίλους· πολεμεῖν δὲ καὶ τὸν κόρακα τῷ αἰσάλωνι, διὸ καὶ τυπτομένῃ τῇ ἀλώπεκι βοηθεῖν.*

LX (65). *Τοὺς αἰπόλους δέ φησι λέγειν ὅτι, ὅταν τάχιστα ὁ ἥλιος τραπῇ, ἀντιβλέπουσαι αὐτῷ αἱ αἶγες κατάκεινται.* (66). *τούτῳ τι παραπλήσιον Λύκος ἱστορεῖ· φησὶ γὰρ ἐν Λιβύῃ τὰ κτήνη τὸν μὲν ἄλλον χρόνον τὰ μὲν αὐτοῖς ἐναντία, τὰ δ' ὡς ἔτυχεν κοιμᾶσθαι, τῇ δὲ νυκτὶ, καθ' ἣν τοῦ κυνὸς ἀνατολὴ γίνεται, πρὸς αὐτὸ τὸ ἄστρον ἐστραμμένα, καὶ τούτῳ τεκμηρίῳ τῆς ἐπιτολῆς τοὺς ἐκεῖ χρῆσθαι. πλὴν ὅγε Ἀριστοτέλης χωρὶς τῆς περὶ τοὺς βίους τῶν ζώων ἐντρεχείας καὶ τοιαῦτά τινα διεξέρχεται, πάνυ πολλὴν ἐπιμέλειαν πεποιημένος ἐν τοῖς πλείστοις αὐτῶν καὶ οἷον ἔργῳ, οὐ παρέργῳ χρώμενος τῇ περὶ τούτων ἐξηγήσει· τὰ γοῦν πάντα σχεδὸν ἑβδομήκοντα περὶ αὐτῶν καταβέβληται βιβλία, καὶ πεπείραται ἐξηγητικώτερον ἢ ἱστορικώτερον ἐν ἑκάστοις ἀναστρέφεσθαι, * πρὸς τὴν ἡμετέραν ἐκλογὴν ἐπιποιεῖν προῃρημένων αὐτῷ τὸ ξένον καὶ παράδοξον ἔκ τε τούτων καὶ τῶν ἄλλων ἐπιδραμεῖν.*

LXI (67). *Λέγει γοῦν τὰ χερσαῖα πάντα ἀναπνεῖν, ὅσα πνεύμονα ἔχειν, σφῆκας δὲ καὶ μελίσσας οὐκ ἀναπνεῖν.*

LIX. Hist. an. 9, 2. Ael. 2, 51. Plin. l. l. ‖ 1. ἰσάλωνα, 3. ἰσάλωνι Xyl.

LX. Hist. an. 9, 4. Plin. 8, 50. Plut. d. soll. an. c. 21. ‖ 5. φασι vulg., corr. Schn. ‖ 6. αὐτῷ] ἑαυταῖς negatione addita Schn. f. οὐκέτι. ‖ 7. φασὶ Meurs. ‖ 8. μὲν ante αὐτοῖς om. Meurs. ‖ 16. in mg. cod. σημειοῦ τὸ πλῆθος τῶν περὶ ζώων Ἀριστοτέλους βιβλίων. ‖ 19. τὴν] τε Meurs. ‖ προῃρημένων (ι supra ων) cod., προηρημένων Xyl., προειρημένων Meurs. mendae notam huic loco adiecit librarius. f. quaedam exciderunt post ἀναστρέφεσθαι.

LXI. Hist. an. 2, 11.

LXII (68). *Ὅσα τε κύστιν ἔχει πάντα καὶ κοιλίαν, ὅσα τε κοιλίαν [οὐ] πάντα καὶ κύστιν.*

LXIII (69). *Ἄναιμα δὲ εἶναι πολλὰ μὲν τῶν ζώων, καθόλου δὲ ὅσα πλείω πόδας ἔχει τεττάρων.*

LXIV (70). *Ὅσα δὲ τρίχας ἔχει πάντα ζωοτοκεῖν· οὐκ ἀντιστρέφει δέ.*

LXV (71). *Πάντα τὰ ζῶα κινεῖν τὴν κάτω σιαγόνα πλὴν τοῦ ποταμίου κροκοδείλου· τοῦτον δὲ μόνον τὴν ἄνω.*

LXVI (72). *Ἐν Ἰλλυριοῖς εἶναι καὶ Παιονίᾳ μωνύχους[ὗς]· μώνυχον δὲ καὶ δίκερων οὐδὲν ἑωρᾶσθαι, μονοκέρατα δὲ καὶ μώνυχα οἷον τὸν Ἰνδικὸν ὄνον· τοῦτον δὲ καὶ ἀστράγαλον τῶν μωνύχων ἔχειν ζώων.*

LXVII (73). *Τῆς δὲ γαλῆς ὀστοῦν εἶναι τὸ αἰδοῖον.*

LXVIII (74). *Τὸ δ' ἄρρεν τοῦ θήλεος πλείους ἔχειν ὀδόντας καὶ ἐν ἀνθρώποις καὶ τοῖς ἄλλοις ζώοις.*

LXIX (75). *Τὴν δὲ τῶν ἵππων καρδίαν ὀστοῦν καὶ βοῶν δέ τινῶν.*

LXX (76). *Τῶν δὲ ἐλάφων τοὺς ἀχαιίνας καλουμένους δοκεῖν ἐν τῷ κέρκῳ τὴν χολὴν ἔχειν.*

LXII. Hist. an. 1, 2. d. part. an. 3, 8. || 2. *οὐ* add. ex Ar

LXIV. Hist. an. 3, 10. d. gen. an. 5, 3.

LXV. Hist. an. 1, 9. 3, 7. d. part. an. 4, 2. Herod. 2, 68. Plin. 11, 37.

LXVI. Mir. ausc. c. 68. || 11. *μονύχους* vulg. omisso *ὗς*, quod ex Ar. addit Meurs. || *μούνυχον* vulg. || *δικέρω* Xyl. || *ἑωρᾶσθαι* cod., *ἑορᾶσθαι* edd. || 12. *μονοκέρωτα* vulg. || *δὲ*] *τε* cod. Xyl. || *μώνυχα οἷον*] *μωνυχαῖον* vulg.

LXVII. Hist. an. 2, 3. Plin. 11, 49.

LXVIII. Hist. an. 2, 3. Plin. 7, 16. 11, 37.

LXIX. Hist. an. 2, 11. d. part. an. 3, 4. d. gen. an. 5, 7. Plin. 11, 37.

LXX. 20. *ἀχαιῖνας* cod., *ἀχαιίνους* edd.

LXXI (77). *Τοὺς δὲ ἰχθῦς οὐκ ἔχειν στόμαχον, διὸ καὶ τῶν μεγάλων, ἕτερα ὅταν διώκωσιν ἐλάττονα, προσπίπτειν τὴν κοιλίαν εἰς τὸ στόμα.*

LXXII (78). *Τοὺς δὲ ὄφεις πλευρὰς ἔχειν λ'. καὶ ὄμματα δὲ αὐτῶν ἐάν τις ἐκκεντήσῃ, καθάπερ τὰ τῶν χελιδόνων, πάλιν γίνεσθαι.*

LXXIII (79). *Τῶν δ' ἰχθύων τὸν σκάρον μόνον μηρυκάζειν.*

LXXIV (80). *Τοῦ δὲ λέοντος οὕτως εἶναι τὰ ὀστᾶ στερεὰ ὥστε πολλάκις κοπτομένων πῦρ ἐκλάμπειν.*

LXXV (81). *Ἐν Φρυγίᾳ δὲ βοῦς εἶναι, οἳ κινοῦσι τὰ κέρατα.*

LXXVI (82). *Τρίχας δὲ ἔχειν τῶν ζώων ὅσα πεζὰ καὶ ζωοτόκα, φολίδας δὲ ὅσα πεζὰ καὶ ᾠοτόκα.*

LXXVII (83). *Ἤδη δέ τισιν κάμνουσιν πολιὰς γίγνεσθαι, ὑγιασθεῖσι δὲ πάλιν μελαίνας.*

LXXVIII (84). *Τὸν δὲ ἐν τῇ Χαλκιδικῇ ποταμὸν τὸν ἐπὶ Θρᾴκης τὸν καλούμενον Κοχρύνναν πιόντα τὰ πρόβατα ἔχειν τὰ γεννώμενα μέλανα ποιεῖν. καὶ ἐν τῇ Ἀντανδρίᾳ δύο ποταμοὺς εἶναι, ὧν τὸν μὲν λευκά, τὸν δὲ μέλανα γεννᾶν. δοκεῖν δὲ καὶ τὸν Σκάμανδρον*

LXXI. Hist. an. 2, 12. d. part. an. 3, 14.

LXXII. Hist. an. 2, 12. d. gen. an. 4, 6. Ael. 2, 3. 5, 47. Plin. 11, 37. 25, 8.

LXXIII. Hist. an. 2, 12. ‖ 7. *τὸν κληρομόνον* (*κληρο μόνον* Xyl.) *μὴ ῥυγχάζειν* vulg., corr. Meurs.

LXXIV. Hist. an. 3, 7. d. part. an. 2, 9. Ael. 4, 34. Plin. 11, 37.

LXXV. Hist. an. 3, 9. Ael. 2, 20. Plin. 11, 37.

LXXVI. Hist. an. 3, 10. Plin. 11, 39. ‖ 13. *πεζὰ καὶ ατο καὶ* vulg., corr. Meurs. ‖ 14. *ᾠοτόκα*] *ζωοτόκα* Xyl.

LXXVII. Hist. an. 3, 10. d. gen. an. 5, 6.

LXXVIII. Hist. an. 3, 10. mir. ausc. c. 170. ‖ 18. *καλ. Ψυχρὸν, ἂν πίωνται* corr. Meurs. ‖ 19. *ποιεῖν*] *ποιεῖ* vulg. ‖ 21. *γεννᾶν*] f. *ποιεῖν*.

ξανθὰ ποιεῖν, διὸ καὶ τὸν ποιητὴν ἀντὶ Σκαμάνδρου Ξάνθον αὐτὸν προσαγορεύειν. καὶ ἐν τῇ Εὐβοίᾳ δὲ κατὰ τὴν Ἰταλικὴν τὴν συνορίζουσαν τῇ Χαλκίδι δύο ποταμοί, Κέρων καὶ Νηλεύς, ὧν αἱ γυναῖκες ἐὰν περὶ τὸ συλλαμβάνειν οὖσαι πίωσιν, ἐὰν μὲν ἀπὸ ποταμοῦ Κέρωνος, μέλανα τίκτουσιν, ἐὰν δὲ ἀπὸ τοῦ Νηλέως, λευκά.

LXXIX (85). Τοὺς δὲ μύρμηκάς φησιν ὑπὸ ὀριγάνου καὶ θείου περιπαττομένους ἐκλείπειν τὰς μυρμηκίας.

LXXX (86). Τὴν δ' ἔγχελυν οὔτ' ἄρρεν εἶναι οὔτε θῆλυ.

LXXXI (87). Τοὺς δὲ πέρδικας, ἐὰν κατ' ἄνεμον στῶσιν αἱ θήλειαι τῶν ἀρρένων, ἐγκύους γίνεσθαι.

LXXXII (88). Τὸν δὲ καλούμενον ἀστέρα οὕτω διάθερμον εἶναι, ὥσθ' ὅντινα ἂν λάβῃ τῶν ἰχθύων παραχρῆμα δίεφθον ποιεῖν.

LXXXIII (89). Ἔχειν δὲ καὶ σπογγίον αἴσθησιν· ἂν γὰρ μέλλοντος ἀποσπᾶν προαίσθηται, συσπᾶσθαι καὶ ἔργον εἶναι ἀφελεῖν· ταὐτὸ δ' ἂν ἄνεμος ἢ κλύδων ᾖ γίνεσθαι.

LXXXIV (90). Εἶναι δὲ καὶ ἐν χιόνι ζῶα σκωλη-

1. Iliad. 20, 74. || 3. Ἰταλικὴν] Ἀττικήν corr. Meurs. || Καλχίδι Xyl. || 4. γυναῖκες] αἶγες Politus.

LXXIX. Hist. an. 4, 8. Plin. 10, 70. || 9. ἐλλείπειν vulg.

LXXX. Hist. an. 4, 11. 6, 15. 8, 29. d. gen. an. 2, 5.

LXXXI. Hist. an. 5, 4. 6, 2. d. gen. an. 3, 1. Ael. 17, 15. Plin. 10, 33.

LXXXII. Hist. an. 5, 13. Plin. 9, 60. || 17. διεφθὸν Xyl.

LXXXIII. Hist. an. 5, 14. 1, 1. d. part. an. 4, 5. Plin. 9, 45. || 19. προσαίσθηται Xyl., προαίσθηται cod.

LXXXIV. Hist. an. 5, 17. d. plant. 2, 3. Ael. 2, 2. Plin. 11, 35. 36.

κοειδῆ δασέα. ἐν Κύπρῳ γοῦν χαλκῖτις λίθος καίεται καὶ γίνεται θηρίον μικρῷ μεῖζον μυιῶν. τὸ αὐτὸ δὲ καὶ ἐν τοῖς Καρυστίων θηρίοις. ἀποθνήσκειν δὲ τὰ μὲν τῆς χιόνος, τὰ δὲ τοῦ πυρὸς χωριζόμενα. (91). *τὴν δὲ σαλαμάνδραν σβεννύειν τὸ πῦρ.*

LXXXV (92). *Περὶ δὲ τὸν Ὕπανιν ποταμὸν τὸν περὶ Βόσπορον τὸν Κιμμέριον περὶ τροπὰς χειμερινὰς καταφέρεσθαί φασιν οἷον θυλάκους μείζους ῥαγῶν, ἐφ' ὧν ῥηγνυμένων ἐξέρχεσθαι ζῷον πτερωτὸν τετράπουν, ζῆν δὲ μίαν ἡμέραν· ἴδιον δὲ καὶ τὸ πτερωτὸν τετράπουν εἶναι.*

LXXXVI (93). *Τὰ δὲ σμήνη ἀπόλλυσθαι, ἐάν τε ἡγεμόν[ες ἱκανοὶ μὴ ἐν]ῶσιν, ἐάν τε τοὐναντίον πολλοί, [διασπᾶν].*

LXXXVII (94). *Τοὺς δὲ σκορπίους τοὺς χερσαίους ὑπὸ τῶν τέκνων ἀποθνήσκειν. καὶ φαλάγγια δὲ κτείνειν τὴν τεκοῦσαν, πολλάκις δὲ καὶ τοὺς ἄρρενας· συνεπωάζει γάρ.*

LXXXVIII (95). *Ἐν τῷ σώματι τῶν ἀνθρώπων γίνεσθαι οἷον ἰόνθους μικρούς· τούτους δὲ ἐάν τις κεντήσῃ, ἐξέρχεσθαι φθεῖρας, καὶ ἐάν τις ἐάσῃ, εἰς νόσημα*

1. *γοῦν*] *γ' οὖ ἡ* Salm., *γ' οὖ* Schn. ‖ 2. *γίνεται καὶ* Salm., *καὶ* om. Schn. ‖ *μυιῶν* vulg., corr. Salm. ‖ 3. *θηρίοις*] *σιδηρείοις* Salm.

LXXXV. Hist. an. 5, 17. Ael. 5, 43. Plin. 11, 36. ‖ 6. *Ὑπάνην* vulg., corr. Bast. ‖ 7. *χειμερινὰς*] *γε θερινὰς* corr. Meurs. ‖ 9. *πηγνυμένων* Xyl. qui et corr., *πηγνυμένων* cod., ut videtur.

LXXXVI. Hist. an. 5, 19. Plin. 11, 17. supplevit Meurs. ex Ar.

LXXXVII. Hist. an. 5, 21. 22. Plin. 11, 25.

LXXXVIII. Hist. an. 5, 25. ‖ 21. *τις ἐάσῃ εἰς*] f. *ὑγράσῃ τις.* ‖ *νόσημα τούτῳ* omisso *εἰς* Bast. *νοσήμας* Xyl.

τοῦτο ἐμπίπτειν· ὥσπερ Ἀλκμαίωνι τῷ φυσικῷ καὶ Φερεκύδει τῷ Συρίῳ.

LXXXIX (96). Ἴδιον δὲ καὶ τοῦτο, νεκρῶν τινων τοῦ μυελοῦ σαπέντος ἐκ τῆς ῥάχεως ὀφίδια γίνεσθαι, ἐὰν πρὸ τοῦ τελευτᾶν ὄφεως τεθνηκότος ἑλκύσωσι τὴν ὀσμήν. καί τινι καὶ ἐπιγραμματίῳ περιπεπτώκαμεν Ἀρχελάου, οὗ καὶ πρότερον ἐμνήσθημεν, ὃς περὶ τῶν θαυμασίων καὶ τοῦτο καταγράφει, καί φησίν·

πάντα δι' ἀλλήλων ὁ πολὺς σφραγίζεται αἰών·
ἀνδρὸς γὰρ κοίλης ἐκ μυελοῦ ῥάχεως
δεινὸς γίνετ' ὄφις, νέκυος δειλοῖο σαπέντος,
ὃς νέον ἐκ τούτου πνεῦμα λάβῃ τέραος,
τεθνεότος ζωὴν ἕλκων φύσιν· εἰ δὲ τόδ' ἐστίν,
οὐ θαῦμα βλαστεῖν τὸν διφυῆ Κέκροπα.

τοῦτο μὲν οὖν ἐν ἀκοῇ τε καὶ φερομένῃ τινὶ καὶ παρέργως τῇ τοῦ ἐπιγράμματος ποιεῖ μαρτυρίᾳ κεῖσθαι.

XC (97). Ὁ δὲ Ἀριστοτέλης ἐν κηρῷ φησι γίνεσθαι ζῷον, ὃ δὴ δοκεῖν ἐλάχιστον εἶναι καὶ καλεῖσθαι ἀκαρί.

XCI (98). Τὸν δὲ ποτάμιον κροκόδειλον ἐξ ἐλαχίστου γίνεσθαι μέγιστον· τὸ μὲν γὰρ ᾠὸν [οὐ] μεῖζον γίνεσθαι χηνείου, αὐτὸν δὲ γίνεσθαι καὶ ἑπτακαιδεκάπηχυν.

1. Ἀλκμαίωνι Xyl., Ἀλκμαίωνι τῷ μελικῷ Menag.

LXXXIX. Plin. 10, 66. || 9. epigr. babet Iacobs anth. Pal. 2. p. 758. || σφαγίζεται cod. et Meurs., σφαργίζεται Xyl, σφαραγίζεται Nicl. || 10. μυελοῦ ἐκ ῥάχεως transponi vult Iacobs. || 12. ὅς — λάβῃ vel λαβεῖν Iac. || 15. ἀκοῇ τε φερ. coni. Bast.

XC. Hist. an. 5, 26. || 18. ἀκάρητον, Διὸς ταμίον vulg., quod sic corr. Meurs., ut τὸν ποτάμιον δὲ (potius τὸν δὲ ποτ.) ad sequens caput transferatur.

XCI. Hist. an. 5, 27. Herod. 2, 68. Ael. 9, 58. Plin. 8, 25. || 20. οὐ add. Meurs. || 21. χηνίον Xyl. || ἑπτὰ καὶ δεκάπηχυν Xyl., corr. Meurs.

XCII (99). *Τῶν δὲ καράβων τοὺς πολύποδας κρατεῖν, οὐδὲν γὰρ ὑπὸ τῶν ὀστράκων πάσχειν· τῶν δὲ πολυπόδων τοὺς γόγγρους, οὐδὲν γὰρ αὐτοῖς διὰ τὴν λειότητα δύνασθαι τὸν πολύποδα χρῆσθαι· τοῦ δὲ γόγγρου κάραβον, οὐ γὰρ ἐξολισθαίνειν αὐτόν, ἀλλὰ κατατέμνεσθαι διὰ τὴν τῶν ὀστράκων τραχύτητα.*

XCIII (100). *Τὸν δὲ κεστρέα φησίν, ὅταν φοβηθῇ, τὴν κεφαλὴν κρύπτειν, ὡς ὅλον τὸ σῶμα κρύπτοντα.*

XCIV (101). *Τὰ γαμψὰ πάντ' εἶναι μιμητικά.*

XCV (102). *Ὑπὸ κυνὸς λυττώσης λυττᾶν πάντα τὰ δηχθέντα πλὴν ἀνθρώπου.*

XCVI (103). *Τῶν ζώων τὰ μακρὰ ἄρσενα εἶναι, τὰ δεύτερα θήλεα.*

XCVII (104). *Καὶ ἐν Αἰγύπτῳ κατορύττοντας εἰς κόπρον νεοττοὺς ποιεῖν.* (105). *ἐν Συρακούσαις δὲ φιλοπότην τινὰ εἰς τὴν γῆν κατορύξαι καὶ ἐπιθέντα τὴν ψίεθον ἕως τούτου πίνειν συνεχῶς, ἕως γλυφῆναι τὰ ᾠά· ἤδη δὲ κείμενα ἐν ἀγγείοις ἀλεεινοῖς ἐκτριφθῆναι καὶ προελθεῖν.*

XCVIII (106). *Τῶν δὲ χελιδόνων τοὺς νεοττούς, ἐάν τις ἐκτυφλώσῃ, πάλιν βλέπειν.*

XCII. Hist. an. 8, 3. Ael. 9, 25. Plin. 9, 62.

XCIII. Hist. an. 8, 4. Plin. 9, 17.

XCIV. Hist. an. 8, 14.

XCV. Hist. an. 8, 22. ‖ 11. *κυνός*] *τινος* Xyl. qui et corr. ‖ *λυττώσης λυττᾶν* Xyl. ‖ 12. *πρὶν ἀ.* coni. Leoniceus, *πλεῖν α.* Donatus, alius quispiam *πλὴν χηνός.*

XCVI. Hist. an. 4, 11. 9, 1. probl. 10, 8. ‖ 14. *δεύτερα* an *δεύτερα* (sine accentu) num codex habeat incertus est Bast.

XCVII. Hist. an. 6, 2. Plin. 10, 54. ‖ 18. *ψίεθον* Xyl., *ψίαθον* Meurs. ‖ 19. *ἀλεεινοῖς*] *λαγίνοις* vulg. ‖ 20. *προσελθεῖν* edd., *προέλθεῖν* cod.

XCVIII. vid. cap. LXXII.

XCIX (107). *Τὸν δὲ ἱέρακα τρία μὲν τίκτειν, αὐξανομένων δὲ τῶν νεοττῶν ἐκλέγειν τὸν ἕνα· οὐ γὰρ δύνασθαι τρέφειν διὰ τὸ τὸν χρόνον τοῦτον τοὺς ὄνυχας αὐτοῦ διαστρέφεσθαι καὶ μηδὲν ἁρπάζειν· τὸν δὲ πλανηθέντα τὴν φήνην ὑποβάλλεσθαι.* (108). *καὶ τὸ ὅλως ἐπιεικῶς τοὺς γαμψώνυχας, ὅταν θᾶττον οἱ νεοττοὶ δύνωνται πέτεσθαι, ἐκβάλλειν πλὴν τῆς κορώνης· ταύτην δὲ καὶ πετομένους ἐπί τινα χρόνον ψωμίζειν.*

C (109). *Κόκκυγος δὲ νεοττοὺς οὐδένα ἑωρακέναι· τίκτειν γὰρ αὐτὸν οὐκ ἐν τῇ ἰδίᾳ νεοττείᾳ, ἀλλ' εἰς τὰς τῶν ὀρνιθίων ἢ εἰς τὰς τῶν φαβῶν ἢ ὑπολαΐδων εἰσπετόμενον, ὅταν καταφάγῃ τὰ προϋπάρχοντα ᾠά.*

CI (110). *Τοὺς δὲ πέρδικας ποιεῖσθαι σηκοὺς τῶν ᾠῶν καὶ ἐπῳάζειν καὶ τρέφειν ἑκατέρους, καὶ τοὺς νεοττοὺς ὅταν πρῶτον ἐξαγάγωσιν ὀχεύειν αὐτούς.*

CII *Τοὺς [ὗς] δὲ πρὸς ἀλλήλους μάχεσθαι θωρακιζομένους τῷ ἰδίῳ δέρματι, ποιεῖν δὲ τραχὺ ἐκ παρασκευῆς τρίβοντας πρὸς δένδρα καὶ τῷ πηλῷ μολύνοντας καὶ ξηραίνοντας. φάναι δέ τινας καταγράφειν, ὡς αὐτὸς οὐ πεπειραμένος, ὅτι ἂν ὗς τὸν ἕτερον ὀφθαλμὸν ἐκκοπείη ἀποθνήσκει ταχέως.*

CIII (111). *Αἶγας δὲ καὶ πρόβατα βορείοις μὲν*

XCIX. Hist. an. 6, 6. Plin. 10, 3. 12. ‖ 5. φωνὴν vulg., corr. Meurs.

C. Hist. an. 9, 20. 6, 7. mir. ausc. 3. ‖ 9. ἑωρακέναι Xyl. ‖ 11. ὀρνηθίων Xyl., κορύδων corr. Meurs. ‖ ὑπολαΐδων Meurs., ὑποδυναίδων vulg. mendae notam adiecit Xyl. ‖ 12. καταφύγῃ vulg., corr. Schn. ‖ πρὸς ὑπάρχοντα edd., προϋπάρχοντα cod., corr. Schn.

CI. Hist. an. 6, 8.

CII. Hist. an. 6, 17. 18. Plin. 8, 52. in edd. hoc caput male cum c. 101. coaluit. ‖ 16. ὗς ex Ar. add. Schn. ‖ 19. ἑαυτοὺς post ξηραίνοντας addi vult. Schn. ‖ 20. ὗς corr. Schn. vulg. τις.

CIII. Hist. an. 6, 19. Ael. 7, 27. Plin. 8, 47. ‖ 22. βορρείοις Meurs.

ὀχευόμενα ἀρσενοτοκεῖν ὡς τὸ πολύ, νοτίοις δὲ θηλυτοκεῖν· λευκὰ δὲ τὰ γεννώμενα γίνεσθαι, ἐὰν ὑπὸ τῇ γλώττῃ τοῦ κριοῦ λευκαὶ φλέβες ὦσιν, μέλανα δὲ ἐὰν μέλαιναι. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πυρρῶν. πρότερον δὲ ὀχεύεσθαι τὰ ἁλυκὸν ὕδωρ πίνοντα.

CIV (112). Τοὺς δὲ Λακωνικοὺς κύνας πονήσαντας μᾶλλον ὀχεύειν.

CV (113). Θαυμασιωτάτην δ' εἶναι τῷ τάχει τὴν τῶν μυῶν γένεσιν· ἤδη γάρ ποτε τῆς θηλείας κυούσης καὶ ἐναπολειφθείσης ἐν ἀγγείῳ φανῆναι μετ' οὐ πολὺν χρόνον μῦς εἴκοσι καὶ ἑκατόν. τῆς δὲ Περσικῆς ἔν τισιν ἀνασχιζομένων τῶν θηλείων τῶν μυῶν τὰ ἔμβρυα ἤδη κύοντα εὑρίσκεσθαι.

CVI (114). Αἰγίθου δὲ λέγεται καὶ ἀκανθίδος αἷμα μόλις μίγνυσθαι.

CVII (115). Τῶν δὲ αἰγῶν ὅταν μία τις λάβῃ τὸ ἄκρον τοῦ ἠρύγγου (ἔστιν δ' οἷον θρίξ), τὰς ἄλλας ἑστάναι οἷον μεμωρωμένας ἐμβλεπούσας εἰς ἐκείνην.

CVIII (116). Τὸ δὲ τῆς ἰκτίδος αἰδοῖον εἶναι μὲν ὀστοῦν· δοκεῖ δὲ εἶναι φάρμακον στραγγουρίας.

CIX (117). Εὐνοῦχον δὲ φαλακρὸν οὐδένα γίνεσθαι. (118). τὰς δευτερογονεῖς τρίχας τοὺς μὲν ἐκ

4. πυρρῶν πρότερον ἢ ὀχεῖσθαι τὸ ἁλ. vulg., corr. Meurs. et Schn., qui et τὸ in τὰ mutavit.

CIV. Hist. an. 6, 20. Ael. 4, 40. Plin. 10, 63.

CV. Hist. an. 6, 30. Ael. 17, 17. Plin. 10, 65. || 11. εἴκοσιν Xyl.

CVI. Hist. an. 9, 2. || 14. αἰγίθου corr. Meurs., vulg. αἰγιθου.

CVII. Hist. an. 9, 4. Theophr. ap. Phot. cod. 278. p. 528. b. Plut. symp. 7, 2. Plin. 8, 50. || 16. μιᾶς Meurs. || 17. ἠρύγγου corr. Meurs., vulg. ὀριγάνου. || 18. μεμωραμένας Meurs.

CVIII. Mir. ausc. c. 12.

CIX. Hist. an. 3, 10. 9, 37. d. gen. an. 5, 3. Plin. 11, 37.

παιδὸς διαφθαρέντας οὐκ ἴσχειν, τοὺς δὲ ὕστερον ἀποβάλλειν πλὴν ἐπὶ τῆς ἥβης.

CX (119). *Γυναῖκα τίκτειν πλεῖστα πέντε. καὶ μνημονεύεσθαι μίαν ἐν τέτταρσιν τόκοις εἴκοσι τετοκυῖαν καὶ τὰ πλεῖστα τούτων ἐκτραφέντα. ἐὰν δὲ κύουσα [τῷ ἁλὶ] δαψιλεστέρῳ χρήσηται, οὐκ ἔχοντα ὄνυχας γίνεσθαι τὰ παιδία.*

CXI (120). *Εἶναι δὲ καὶ ἄνδρας καὶ γυναῖκας θηλυγόνους καὶ ἀρρενογόνους, ὃ καὶ περὶ τοῦ Ἡρακλέους ἱστόρηται· ἐν δύο γὰρ καὶ ἑβδομήκοντα τέκνοις μίαν αὐτὸν γεννῆσαι θυγατέρα.*

CXII (121). *Γίνεσθαι δέ τινας καὶ ἐκ χωλῶν καὶ ἐκ τυφλῶν ὁμοίως τυφλοὺς καὶ χωλούς· ἤδη δέ τινας καὶ στίγματα ἐνηνοχέναι.* (122). *ἐν Ἤλιδι δὲ ἐκ τῆς ὑπό του Αἰθίοπος μοιχευθείσης θυγατέρα μὲν γενέσθαι λευκήν, τὸν δὲ ἐκ ταύτης Αἰθίοπα.*

CXIII (123). *Τὰ δὲ παιδία ἄχρι γένηται τετταράκοντα ἡμερῶν ἐγρηγορότα μὲν οὐ γελᾶν οὐδὲ δακρύειν, ὑπνοῦντα δὲ ἀμφότερα.*

CXIV (124). *Καὶ φυσιογνωμονεῖ δέ τινα τοιαῦτα· τοῖς τὸ μέτωπον μέγα ἔχουσιν βραδυτέροις γίνεσθαι, μικρὸν δὲ εὐκινήτοις (ὡς ἐπὶ τὸ πολὺ προστιθεὶς ἐν*

CX. Hist. an. 7, 5. Gell. 10, 2. Phleg. mir. c. 28. ‖ 4. *ἐν Ἀλεξανδρείᾳ* ante *μίαν* ex Phleg. addit Meurs. ‖ 5. *ἐκτραφέντα* corr. Bast., vulg. *ἐκτραφέντων*, cod. *ἐκτραφεντῶν*. ‖ 6. *τῷ ἁλὶ* ex Ar. add. Meurs.

CXI. Hist. an. 7, 6. Plin. 7, 13. ‖ 8. *ἄνδρας θηλυγόνους καὶ γυναῖκας ἀρρενογόνους* corr. Meurs. ‖ 9. *καὶ ὃ* Xyl.

CXII. Hist. an. 7, 6. d. gen. an. 1, 18. Plin. 7, 11. Solin. c. 1. ‖ 15. *ὑπό του* cod., *ὑπὸ τοῦ* edd.

CXIII. Hist. an. 7, 9. d. gen. an. 5, 1.

CXIV. Hist. an. 1, 8. 9. physiogn. c. 6. Plin. 11, 52. cf. physiogn. scriptt.

ἑκάστοις), οἷς πλατὺ ἐκστατικοῖς. (125). ὀφρῦς **εὐθείας** μαλακοῦ ἤθους, πρὸς τὴν ῥῖνα κεκαμμένας **στρυφνοῦ,** πρὸς τοὺς κροτάφους μώκου καὶ εἴρωνος. (126). **ξανθοὺς** κρεώδεις πονηρίας, ὦτα μέσα βελτίστου ἤθους, **τὰ** δὲ μεγάλα καὶ ἐπανεστηκότα μωρολογίας καὶ ἀδολε**σχίας.**

CXV (127). Τῶν δὲ θηλέων ζώων ῥοπικώ**τερόν** φησιν εἶναι πρὸς τὴν συνουσίαν ἵππον, καὶ ἱππο**μανεῖν** ἰσχυρῶς, ὅθεν καὶ πρὸς τὴν βλασφημίαν ἀπὸ **τούτου** μεταφέρεσθαι καὶ τὰς πρὸς τὰ ἀφροδίσια κεκινη**μένας** ὀνειδίζεσθαι. φαίνεται δὲ καὶ Αἰσχύλος ἱστορικ**ῶς τὸ** τοιοῦτον οὕτως πως εἰρηκέναι πρὸς τὰς **παρθένους ἐν** ταῖς Τοξότισιν·

ἄδων ταῖς ἁγναῖς παρθένοις γαμηλίων
λέκτρων αστει μη βλεμμάτων ῥεπιβουλη.

καὶ διαλιπὼν προσέθηκε·

οὔ με μὴ λάθῃ φλέγων
ὀφθαλμός, ἥτις ἀνδρὸς ᾖ γεγευμένη.
ἔχων δὲ τούτων θυμὸν ἱππογνώμονα.

πολλῶν δὲ ὄντων, ὧν καταγέγραφεν Ἀριστοτέλης, **ἐπὶ** τοσοῦτον ἠδυνήθημεν ἡμεῖς ἐπὶ τοῦ παρόντος τὰ **μὲν** ἐκλέξαι, τὰ δ' ἀναμνησθῆναι.

CXVI (128). Φησὶν δ' * ὁ ἱστοριογράφος, **Ἀρ-**

2. στρυφνοὺς Xyl.

CXV. Hist. an. 6, 17. Ael. 4, 11. ‖ 6. ῥοπικώτερον cod., τροπικώτερον edd. ‖ 7. ἱππομανίαν vulg., corr. Nicl. ‖ 11. οὕτω **Salm.** ‖ 13. Aesch. fr. 224. Dind. Sic emendant Salm. ἄδην γὰρ ἁγναῖς παρθένοις γαμηλίων λέκτρων, ἀτρέπτη βλεμμάτων ῥέπει βολή, **Pauw.** ἄδων τά δ' ἁγ. π. γ. λ., ἄνειμι (v. ἄπειμι) βλεμμάτων γ' ἐπήβολος, **Toup.** κάτω γὰρ ἁγ. π. γ. λ. ἀγευστοις βλ. ῥέπει βολή, Valck. γάμων γὰρ ἁγ. π. γ. λ. ἀπειθὴς βλ. ρ. β., Heath. αἰδὼς γὰρ ἁγ. π. γ. λ. ἀπείροις βλ. πρέπει βολή. ‖ 16. supplet versum Plut. mor. p. 81. 767. νέας γυναικός. ‖ 18. ἔχω Salm., ἔχω δὲ τούτου Grot.

CXVI. Ar. d. gen. an. 2, 6. Ctes. fr. p. 244. Baehr. Nomen auctoris excidit.

σάμην τὸν Πέρσην εὐθὺς ἐκ γενετῆς ὀδόντας ἔχειν.

CXVII (129). *Μυρσίλος δὲ ὁ Λέσβιος Λοκροὺς τοὺς Ὀζόλας τῆς [ἐπιθυμίας] ἐπωνυμίας τετυχηκέναι, ὅτι τῆς χώρας τῆς αὐτῶν [τὸ ὕδωρ] ὄζει καὶ μάλιστα τοῦ Ταφίου καλουμένου ὄρους· καὶ ῥεῖν αὐτόθεν εἰς θάλασσαν ὥσπερ πῦον, τεθάφθαι δ' ἐν τῷ ὄρει τούτῳ Νέσσον τὸν Κένταυρον, ὃν Ἡρακλῆς ἀπέκτεινεν.*

CXVIII (130). *Τὰς δὲ Λημνίας δυσόσμους γενέσθαι Μηδείας ἀφικομένης μετ' Ἰάσονος καὶ φάρμακα ἐμβαλλούσης εἰς τὴν νῆσον· κατὰ δή τινα χρόνον καὶ μάλιστα ἐν ταύταις ταῖς ἡμέραις, ἐν αἷς ἱστοροῦσιν τὴν Μήδειαν παραγενέσθαι, δυσώδεις αὐτὰς οὕτως γίνεσθαι, ὥστε μηδένα προσιέναι.*

CXIX (131). *Θεόπομπος δέ φησιν ὁ ἱστοριογράφος, τὸ καλούμενον ἀκόνιτον γίνεσθαι μὲν περὶ Ἡράκλειαν τὴν ἐν τῷ Πόντῳ ταῖς ὀνομαζομέναις Ἀκόναις, ὅθεν καὶ τῆς προσηγορίας τετυχηκέναι, δυναμικὸν ἐναργῶς δ' ὂν οὐκ ἐνεργεῖν οὐδέν, ἂν πίῃ τις πήγανον ταύτην τὴν ἡμέραν· ὥστ' Ἀγαθάρχου τοῦ τυράννου πολλοὺς ἀποκτείναντος φαρμάκῳ καὶ πειρωμένου λανθάνειν, ὡς ἐγένετο συμφανές, τοὺς πλείστους Ἡρακλεωτῶν οὐ πρότερον ἐξιέναι πρὸ τοῦ φαγεῖν πήγανον. γράφει δὲ καὶ τὴν πρόφασιν καὶ τὴν ἀρχὴν ἐξ ἧς ὤφθη σφόδρα μακρῶς, διὸ καὶ παρελείπομεν.*

CXVII. Strab. 9. p. 427. Paus. 10, 38. || 3. *ἐπιθυμίας*, quod est in cod., omitti volunt Meurs. Toup. Bast, *ἐπιδημίας* corr. Xyl., *ἀπὸ δυσοσμίας* Locell. || 4. *τὸ ὕδωρ* ex Strab. add. Meurs. || 6. *τετάφθαι* vulg., corr. Bast.

CXVIII. Schol. Apoll. Rhod. 1, 615. || 10. *δὴ*] *δὲ* Meurs.

CXIX. Theop. ap. Ath. 3. p. 85. A. fr. 200. Wich. Steph. B. s. v. *Ἀκόναι*. || 14. *ὁ* om. edd. || 19. *Κλέαρχον* Ath. || 24 *διὸ*] *δύο* Xyl.

CXX (132). Ὁ δὲ τοὺς Σαμιακοὺς ὥρους συγγεγραφὼς ἐπὶ τῶν πρώτων κληθέντων μαθητῶν τῶν περὶ Ἡρόστρατόν φησιν χελιδόνα λευκὴν φανῆναι.

CXXI (133). Ἵππων δὲ ὁ Ῥηγῖνος περὶ τῶν λεγομένων τόπων φθείρειν τὰ ἐμπίπτοντα τοιοῦτόν τι γράφει. φησὶν ἐν Ἀθήναις ἐπὶ βασιλέως Ἐπαινέτου ὀλυμπιάδος ἕκτης καὶ τριακοστῆς, ἐν ᾗ Ἀρυτάμας Λάκων νικᾷ στάδιον, τῆς Σικελίας ἐν Παλίκοις οἰκοδομηθῆναι τόπον, εἰς ὃν ὅστις ἂν εἰσέλθῃ, εἰ μὲν κατακλιθείη, ἀποθνήσκειν, εἰ δὲ περιπατοίη, οὐδὲν πάσχειν.

CXXII (134). Ἱστορεῖται δὲ καὶ περὶ τὴν Λευκὴν νῆσον μηδὲν ὑπεραίρειν δύνασθαι τῶν ὀρνέων τῇ πτήσει τὸν τοῦ Ἀχιλλέως ναόν.

CXXIII (135). Καὶ πολλαχοῦ δὲ ἔοικεν τό τε τῶν βαράθρων καλουμένων καὶ Χαρωνίων εἶναι γένος, οἷον ὅ τε Κίμβρος καλούμενος ὁ περὶ Φρυγίαν βόθυνος, ὡς Εὔδοξός φησιν, καὶ τὸ ἐν Λάτμῳ ὄρυγμα.

CXXIV (136). Καὶ τὰ τῇ σελήνῃ συναυξανόμενά τε καὶ συμφθίνοντα, οἷον τὰ τῶν μυῶν ἥπατα· λέγεται γὰρ καὶ συμπληροῦσθαι καὶ συμφθίνειν καὶ συναύξεσθαι τῷ μηνί, διὸ καὶ παρὰ πολλοῖς ἐν παροιμίας εὑρῆσθαι

CXX. Ar. hist. an. 3, 10. 6, 5. Ael. 17, 20. ‖ 1. ὅρους vulg. ‖ 3. Ἐρασίστρατον coni. Meurs.

CXXI. 4. Ἵππυς G. J. Voss. ‖ 6. βασιλέως] debebat ἄρχοντος. ‖ 7. ἕκτης καὶ τετταρακοστῆς ἐν ᾗ Χρυσάμαξος Corsin. ‖ 8. Παληκίοις vulg., corr. Meurs. ‖ οἰκονομ. Xyl. ‖ 10. ἀποθνήσκει vulg. ‖ πάσχειν Xyl., cett. πάσχει.

CXXII. Plin. 10, 29. Solin. c. 19.

CXXIII. Strab. 12. p. 579. 14. p. 636. ‖ 15. Χαρώνιον Xyl. ‖ 16. ὅτε vulg.

CXXIV. Ael. 2, 56. Plin. 11, 37. ‖ 19. μυῶν τὰ ἧπ. Xyl., μυῶν ητα ἧπ. cod. ‖ 21. τῷ μηνὶ corr. Meurs., vulg. τῶν νῦν. ‖ διὸ δὲ π. Meurs.

μέρει ἐπὶ τῶν θαυμαστῶν τεράτων, μυῶν ἤπατα. (137). καὶ τὰ τῶν θαλαττίων δὲ ἐχίνων ᾠὰ ταὐτὸ πάσχειν. ἴδιον δὲ καὶ τὸ πάντας αὐτοὺς ἔχειν πέντε καὶ ἴσον ἀλλήλων διεστηκότα καὶ περὶ τὴν περιφέρειαν τοῦ ὀστράκου κύκλον, ὥστε ἴσας τὰς ἐκ τοῦ κέντρου προσπίπτειν αὐτῇ.

CXXV (138). *Φασὶν δὲ καὶ περὶ τὸν τῆς Ἰταλίας πορθμὸν φθίνειν καὶ πληροῦσθαι κατὰ τὴν μείωσιν τῆς σελήνης καὶ αὔξησιν.*

CXXVI (139). *Ἑλλάνικος δ' ὁ Λέσβιος ἐν Θήβαις ταῖς Αἰγυπτίαις ἱστορεῖ σπήλαιον ἐν ἄστει, καθ' ὃ εἶναι τὰς μὲν τριακάδας νηνεμίαν, τὰς δ' ἄλλας ἡμέρας ἄνεμον.* (140). *δόξαι δ' ἀνεξέταστόν τι ἔχειν καὶ δυσπαρατήρητον ἡ ἐκλογή, καθάπερ ὁ Εὔριπος ταῖς ἑβδόμαις οὐ στρέφεται, καὶ ὅτι οἱ μύρμηκες ταῖς νουμηνίαις ἀναπαύονται.*

CXXVII (141). *Οἱ Δελφοὶ δὲ λέγουσιν, ὅτι ἐν τῷ Παρνασσῷ κατά τινας χρόνους τὸ Κωρύκιον φαίνεσθαι χρυσοειδές. διὸ καὶ τὸν Φιλόξενον οὐδεὶς ἂν εἰκαιολαλεῖν εἴποι λέγονθ' οὕτως·*

*αὐτοὶ γὰρ διὰ Παρνασσοῦ * **
*χρυσορόφων νυμφέων εἴσω * θαλάμων.*

2. Ar. hist. an. 5, 10. Plin. 9, 51.

CXXV. Mir. ausc. c. 55.

CXXVI. Hellan. fr. p. 111. Sturz. Steph. B. s. v. *Θήβη*. || 12. *εἶναι*] *εἶναι μὲν* Xyl. || 13. *ὅ. δ' ἂν* Sturz. || *δυσπαράδεκτον* Sturz. || 15. Ael. 1, 22. Plin. 11, 30. Io. Lyd. d. mens. 3, 8.

CXXVII. Paus. 10, 32. || 18. *φαίνεσθαι* Xyl., cett. *φαίνεται*. || 19. *ἂν εἰκαιολαλεῖν* Clinton, *ἂν εἰκοτολαβεῖν* cod., in quo primum *ἂν εἰκοτολακεῖν* positum fuisse asseverat Bast. *ἀνεικοτολαβεῖν* Xyl., qui et ipse coni. *εἰπεικότα* aut *ἂν εἰκότα λαβεῖν*, Meurs. *ἀνεικοταλαλεῖν*, Bast. *ἂν κομπολακεῖν*. || 21. versus sic restitui vult cens. Gott.: *διὰ Παρνησσοῖο νέοντο — εἴσω ἀνὰ θαλάμων.*

CXXVIII (142). *Ἐν δὲ τοῖς Φύλλοις λέγεται, τὰς ποίμνας διὰ πέμπτης ἡμέρας ποτίζεσθαι.* (143). *τούτου δὲ τερατωδέστερον ἐν Ζακύνθῳ· ὑπὸ γὰρ τοὺς ἐτησίας χαίνοντες ἑστήκασιν οἱ τράγοι πρὸς τὸν βορέαν καὶ τοῦτο πράττοντες οὐ προσδέονται ὕδατος οὐδὲ πίνουσιν.*

CXXIX (144). *Πεποίηται δέ τινα καὶ ὁ Κυρηναῖος Καλλίμαχος ἐκλογὴν τῶν παραδόξων, ἧς ἀναγράφομεν ὅσα ποτὲ ἡμῖν ἐφαίνετο εἶναι ἀκοῆς ἄξια. φησὶν Εὔδοξον ἱστορεῖν, ὅτι ἐν τῇ κατὰ ἱερὸν ὄρος θαλάττῃ τῆς Θρᾴκης ἐπιπολάζει κατά τινας χρόνους ἄσφαλτος, ἡ δὲ κατὰ Χελιδονίας ὅτι ἐπὶ πολὺν τόπον ἔχει γλυκείας πηγάς.*

CXXX (145). *Θεόφραστον δέ, τὴν περὶ τὰς Αἰόλου νήσους ἀναζεῖν οὕτως ἐπὶ δύο πλέθρων τὸ μῆκος, ὥστε μὴ δυνατὸν εἶναι διὰ τὴν θερμασίαν ἐμβαίνειν εἰς ταύτην.*

CXXXI (146). *Ἐκ δὲ τῆς κατὰ Δημόνησον τὴν Χαλκηδονίων τοὺς κολυμβητὰς ἀναφέρειν εἰς δύο ὀργυιὰς χαλκόν, ἐξ οὗ καὶ τοὺς ἐν Φενεῷ τοὺς ὑπὸ Ἡρακλέους ἀνατεθέντας ἀνδριάντας εἰργάσθαι.*

CXXXII (147). *Μεγασθένην δὲ τὸν τὰ Ἰνδικὰ*

CXXVIII. 1. *Φυλλίοις* Meurs., *Ψύροις* Holst. ‖ 3. mir. ausc. c. 9.

CXXIX. Plin. 2, 103. ‖ 8. *ὅσα* cod., *ἃ* edd. ‖ 11. *Χελιδόνας* vulg., corr. Meurs. ‖ *γλυκέας* vulg., corr. Bentl.

CXXX. Arist. d. mund. c. 4. Plin. 2, 106. ‖ 13. *Θεόφραστος* vulg., corr. Bentl. ‖ *τὴν*] *τὰς* vulg., corr. Meurs.

CXXXI. Mir. ausc. c. 58. ‖ 17. *Δῆλον νῆσον τὴν Καρχηδονίων — Φαινεῷ* (cod. *Φαίνεῶι*) vulg., corr. Meurs., item Salm. qui et *Καλχηδ.* ‖ 18. *εν δύο ὀργυιὰς* cod. (*ὀργυιᾶς* Xyl.), *ἐν δύο ὀργυιαῖς* Meurs., corr. Bast. ‖ 19. *Ἡρακλέως* Xyl. ‖ 20. *ἀνατιθέντας* vulg., corr. Bast.

CXXXII. Arist. d. mund. c. 4. Theophr. hist. pl. 4, 7, 8. Plin. 13, 25.

γεγραφότα ἱστορεῖν, ἐν τῇ κατὰ τὴν Ἰνδικὴν θαλάττῃ δένδρεα φύεσθαι.

CXXXIII (148). Περὶ δὲ τῶν ποταμῶν καὶ κρηνῶν Λύκον μέν φησιν λέγειν, ὅτι ὁ μὲν Κάμικος θαλάττης ζεούσης ῥεῖ, ὁ δὲ Κάπαιος καὶ Κριμισὸς ὅτι τὰ μὲν ἐπιπολῆς τῶν ὑδάτων εἰσὶ ψυχροί, τὰ δὲ κάτω θερμοί, τὸν δ' Ἱμέραν ἐκ μιᾶς πηγῆς σχιζόμενον τὸ μὲν ἁλυκὸν τῶν ῥείθρων ἔχειν, τὸ δὲ πότιμον.

CXXXIV (149). Τίμαιον δὲ τῶν ἐν Ἰταλίᾳ ποταμῶν ἱστορεῖν Κρᾶθιν ξανθίζειν τὰς τρίχας.

CXXXV (150). Πολύκριτον δὲ καταγεγραφέναι, τὸν μὲν ἐν Σόλοις οὐ ψευδῶς ὠνομάσθαι Λίπαριν, ἀλλ' οὕτως ἀπολιπαίνειν ὥστε μὴ προσδεῖσθαι ἀλείμματος, τὸν δὲ ἐν Παμφυλίᾳ Μούαφιν ἀπολιθοῦν, ἐάν τις ἐμβάλῃ στοιβὴν ἢ λίθον.

CXXXVI (151). Περὶ δὲ τὴν τῶν Ἀγρίων Θρᾳκῶν χώραν φησὶν ποταμὸν προσαγορευόμενον Πόντον καταφέρειν λίθους ἀνθρακώδεις, τούτους δὲ κάεσθαι μέν, πᾶν δὲ τοὐναντίον πάσχειν τοῖς ἐκ τῶν ξύλων ἀνθρακευομένοις· ὑπὸ μὲν γὰρ τῶν ῥιπίδων πνευματιζομένους σβέννυσθαι, τῷ δὲ ὕδατι ῥαινομένους βέλτιον κάεσθαι, τὴν δ' ὀσμὴν αὐτῶν οὐδὲν ὑπομένειν ἑρπετόν.

1. ἱστορεῖν cod., ἱστορεῖ Xyl.

CXXXIII. Solin. c. 11. Vitruv. 8, 3. || 4. φησὶν Xyl., φησὶ cett. || Κάμακος vulg., corr. Meurs. || διὰ θαλ. coni. Beckm. ζεούσης corr. Jacobs. vulg. ῥεούσης. || 5. Κάπαιος] Ἄκαπος Meurs., Κακύπαρις Bentl. || Κριμισσος vulg., corr. Meurs. || 7. Ἡμέραν Xyl.

CXXXIV. Mir. ausc. c. 169. Tim. fr. 125. Goell. || 10. κρατεῖν ξανθίζον cod., corr. Xyl.

CXXXV. Vitruv. 8, 3. || 15. λίθον corruptum est; λίγον corr. Meurs., φλοιὸν Bentl., σχίδιον Jacobs.

CXXXVI. Mir. ausc. c. 115. || 16. Ἀγριανῶν aut Ἀγραίων Salm. || 19. ἐκ del. Salm.

CXXXVII (152). *Τὴν δ' ἐν Λουσοῖς κρήνην, καθάπερ παρὰ τοῖς Λαμψακηνοῖς, ἔχειν ἐν ἑαυτῇ μῦς ὁμοίους τοῖς κατοικιδίοις, ἱστορεῖν δὲ ταῦτα Θεόπομπον.*

CXXXVIII (153). *Εὔδοξον δέ, τὴν ἐν Ἅλῳ Ὀφίουσσαν τὸν ἀλφὸν παύειν.*

CXXXIX (154). *Λύκον δὲ τὸν Ῥηγῖνον λέγειν, τὴν μὲν ἐν τῇ Σικανῶν χώρᾳ φέρειν ὄξος, ᾧπερ ἐπὶ τῶν ἐδεσμάτων χρῶνται, τὴν δὲ ἐν Μυτιστράτῳ οἷον ἐλαίῳ ῥεῖν· τοῦτο δ' ἔν τε τοῖς λύχνοις κάεσθαι καὶ δύνασθαι φύματα καὶ ψώραν ἰᾶσθαι, προσαγορευόμενον Μυτιστράτιον. πλησίον δὲ εἶναι τὴν ἀπὸ μὲν ἀρκτούρου μέχρι πλειάδος ἀναβάλλουσαν οὐδενὸς χεῖρον τῶν ἄλλων ὑδάτων, ἀπὸ δὲ πλειάδος μέχρι πρὸς ἀρκτοῦρον τῆς μὲν ἡμέρας καπνὸν ἀναφέρουσαν καὶ πνέουσαν θερμόν, ἐν δὲ τῇ νυκτὶ φλογὸς πληρουμένην.*

CXL (155). *Ἀρέθουσαν δὲ τὴν ἐν Συρακούσαις, ὥσπερ οἱ λοιποί φασιν καὶ Πίνδαρος, τὴν πηγὴν ἔχειν ἐκ τοῦ κατὰ τὴν Ἠλείαν Ἀλφειοῦ, διὸ καὶ ταῖς Ὀλυμπικαῖς ἡμέραις, ὅταν ἐν τῷ ποταμῷ ἀποπλύνωσιν τῶν θυμάτων τὰς κοιλίας, οὐ καθαρὰν εἶναι τὴν ἐν τῇ Σικελίᾳ κρήνην, ἀλλὰ ῥεῖν ὄνθῳ. φησὶν δὲ καὶ φιάλην ποτ' εἰς τὸν Ἀλφειὸν ἐμβληθεῖσαν ἐν ἐκείνῃ φανῆναι. τοῦτο δ' ἱστορεῖ καὶ Τίμαιος.*

CXLI (156). *Θεόπομπον δέ φησιν γράφειν, τῆς*

CXXXVII. Mir. ausc. c. 125. Theop. fr. 287. Wich.

CXXXVIII. Plin. 31, 2.

CXXXIX. Mir. ausc. c. 113. Sotion c. 29. ‖ 8. *Κυτιστράτῳ* et 11. *Κυτιστραῖον* vulg., corr. Sylb. Meurs., *Καρχηδονίων ἐπικρατείᾳ* et *Σικελικὸν ἔλαιον* Politus. ‖ 14. *τῆς*] *τὰς* Xyl.

CXL. Strab. 6. p. 270. ‖ 17. Pind. Nem. 1. pr. ‖ *καὶ*] *φησὶ καὶ* Goell. ‖ 18. *Ἠλίαν* Xyl. ‖ 19. *ἀποπλύνωσιν* cod., *ἀποπλύνουσιν* Xyl., *ἀποπλύνουσι* Meurs. ‖ 23. Tim. fr. 127. Goell.

CXLI. Mir. ausc. c. 121. Theop. fr. 288. Wich. ‖ 24. *τῆς*] *τὴν* vulg.

μὲν ἐν Κιγχρώψωσιν τοῖς Θρᾳξὶν τὸν ἀπογευσάμενον τελευτᾶν εὐθύς.

CXLII (157). *Ἐν Σκοτούσσῃ δ' εἶναι κρηνίδιον οὐ μόνον ἀνθρώπων ἕλκη, ἀλλὰ καὶ βοσκημάτων ὑγιάζειν δυνάμενον· κἂν ξύλον δὲ σχίσας ἢ θραύσας ἐμβάλῃς συμφύειν.*

CXLIII (158). *Ἐκ δὲ τῆς περὶ Χαονίαν, ὅταν ἀφεψηθῇ τὸ ὕδωρ, ἅλας γίνεσθαι.*

CXLIV (159). *Τῶν δ' ἐν Ἄμμωνι κρηνῶν λέγειν Ἀριστοτέλη, ὅτι τὴν μὲν ἡλίου γε νομιζομένην μέσων μὲν νυκτῶν καὶ μεσημβρίας γίγνεσθαι θερμήν, ἕωθεν δὲ καὶ δείλης καθαπερεὶ κρύσταλλον, ἡ δ' ἄλλη διότι καταβαίνοντος μὲν ἡλίου πηγνύει, ἐπὶ δυσμαῖς δ' ἰόντος ἵσταται.*

CXLV (160). *Κτησίαν δέ, τὴν ἐν Αἰθιοπίᾳ τὸ μὲν ὕδωρ ἔχειν ἐρυθρόν, ὡσανεὶ κιννάβαρι, τοὺς δ' ἀπ' αὐτῆς πιόντας παράφρονας γίγνεσθαι. τοῦτο δ' ἱστορεῖ καὶ Φίλων ὁ τὰ Αἰθιοπικὰ συγγραψάμενος.*

CXLVI (161). *Τὴν δὲ ἐν τοῖς Ἰνδικοῖς κρήνην Σίλαν οὐδὲ τὸ κουφότατον τῶν ἐμβληθέντων ἐᾶν ἐπι-*

1. *Κύχροις ἢ Χρωψὶν* Meurs., *Κύχρωψι* Bentl.

CXLII. Mir. ausc. c. 117. ‖ 3. *κρήνην ἰδίαν — δυναμένην* vulg., corr. Bentl.

CXLIII. Plin. 31, 7. ‖ 7. *Χαονίην* Meurs. ‖ 8. *ἄλλας* Xyl.

CXLIV. Herod. 4, 181. Plin. 2, 103. Sotion c. 19. ‖ 9. *Ἄμμωνι* cod., *Ἄμμωνι* edd. ‖ 10. *ὅτι* om. Meurs. ‖ 12. *ἀναβαίνοντος* Voss. et Bentl., *καταφαίνοντος* Hemsterh. ‖ 13. *πηδύει (πιδύει)* Voss. et Bentl. f. *ῥήγνυσι.*

CXLV. Plin. 31, 2. Sotion. c. 17. Ctes. fr. p. 309. Baehr.

CXLVI. Plin. 31, 2. Diod. 2, 38. ‖ 19. cod. et vulg. *ἐλαττονδεγοκουφατα τούτων, βληθέντων αιαν ἐπιμένειν*, corr. Bast., Meurs. *Σίδαν οὐδέ γε κουφότατα τῶν βληθέντων ἂν ἐπιμένειν*, quod probat Bentl., nisi quod corr. *ἐᾶν ἐπινεῖν*, Ruhnk. et Bast. *ἐπιπλεῖν*, Baehr *ἄνω ἐπιμένειν*, Wessel. *Σίλαν.*

μένειν, ἀλλὰ πάντα καθέλκειν. καὶ ταῦτα δὲ πλείους εἰρήκασιν καὶ ἐπὶ πλειόνων ὑδάτων.

CXLVII (162). *Εὔδοξον δ' ἱστορεῖν, τὴν μὲν ἐν Χαλκηδόνι κροκοδείλους ἐν αὐτῇ [ἔχειν] μικρούς, ὁμοίους τοῖς ἐν Αἰγύπτῳ.*

CXLVIII (163). *Περὶ δὲ τὴν Ἀθαμανίαν ἱερὸν εἶναι νυμφῶν, ἐν ᾧ τὴν κρήνην τὸ μὲν ὕδωρ ἔχειν ἄφατον ὡς ψυχρόν, ὃ δ' ἂν ὑπερθῇς αὐτοῦ θερμαίνειν· ἐὰν δέ τις φρύγανον ἢ ἄλλο τι τῶν τοιούτων προσενέγκῃ, μετὰ φλογὸς καίεσθαι.*

CXLIX (164). *Κατὰ δὲ τὴν Ἀραβίαν ἐν πόλει Λευκοθέᾳ Ἀμώμητόν φησιν γράφειν, τὸν πραγματευθέντα τὸν ἐκ Μέμφεως ἀνάπλουν, εἰς τὴν καλουμένην Ἴσιδος κρήνην ἄν τις οἴνου ἐπιχέῃ κοτύλην, διότι γίγνεται τὸ ποτὸν εὔκρατον.*

CL (165). *Περὶ δὲ λιμνῶν Κτησίαν μὲν ἱστορεῖν λέγεται, τῶν ἐν Ἰνδοῖς λιμνῶν τὴν μὲν τὰ εἰς αὐτὴν ἀφιέμενα [μὴ] καταδέχεσθαι, καθάπερ τὴν ἐν Σικελίᾳ καὶ Μήδοις, πλὴν χρυσίον καὶ σίδηρον καὶ χαλκόν, καὶ ἄν τι ἐμπέσῃ πλάγιον, ὀρθὸν ἐκβάλλειν, ἰᾶσθαι δὲ τὴν καλουμένην λευκήν· τῇ δ' ἑτέρᾳ κατὰ τὰς εὐδιαζούσας ἡμέρας ἐπιπολάζειν ἔλαιον.*

CLI (166). *Ζηνόφιλον δὲ ἐν μὲν τῇ πλησίον Ἰόπης οὐ μόνον ἐπιδέχεσθαι πᾶν βάρος, ἀλλὰ καὶ παρὰ*

CXLVII. Strab. 12. p. 563. || 4. *Καρχηδόνι* vulg. corr. Nicl., *Καλχηδόνι* Holst. || *ἔχειν* add. Bentl.

CXLVIII. Sotion c. 11.

CXLIX. Sotion c. 17. || 12. *φησὶν* Xyl., *φησὶ* cett.

CL. Sotion c. 3. Plin. 31, 2. Ctes. fr. p. 339. B. || 17. *λέγει* Bentl. || 18. *μὴ* add. Schott. Holst. || 21. *ἰδιαζούσας* vulg., corr. Holst.

CLI. Strab. 16. p. 763. Diod. 19, 98. || 23. *Ἰόππῃ* Xyl. || 24. *ἐπινήχεσθαι* Meurs.

τρίτον ἔτος φέρειν ὑγρὰν ἄσφαλτον· ὅταν δὲ γίγνηται τοῦτο, παρὰ τοῖς ἐντὸς τριάκοντα σταδίων οἰκοῦσιν κατιοῦσθαι χαλκώματα.

CLII (167). Τὴν δὲ ἐν τοῖς Σαρμάταις λίμνην Ἡρακλείδην γράφειν, ὅτι οὐδὲν τῶν ὀρνίθων ὑπεραίρειν, τὸ δὲ προσελθὸν ὑπὸ τῆς ὀσμῆς τελευτᾶν· ὃ δὴ καὶ περὶ τὴν Ἀορνῖτιν δοκεῖ γίγνεσθαι καὶ κατίσχυσεν ἡ φήμη παρὰ τοῖς πλείστοις. (168). ὁ δὲ Τίμαιος τοῦτο μὲν ψεῦδος ἡγεῖται εἶναι· τὰ πλεῖστα γὰρ κατατυχεῖν τῶν εἰθισμένων παρ' αὐτῇ διαιτᾶσθαι· ἐκεῖνο μέντοι λέγει, διότι συνδένδρων τόπων ἐπικειμένων αὐτῇ καὶ πολλῶν κλάδων καὶ φύλλων διὰ τὰ πνεύματα τῶν μὲν κατακλωμένων, τῶν δὲ ἀποσειομένων, οὐδέν ἐστιν ἰδεῖν ἐπ' αὐτῇ ἐφεστηκός, ἀλλὰ διαμένειν καθαράν.

CLIII (169). Ἐκ δὲ τῆς ἐν Ζακύνθῳ λίμνης φησὶν Εὔδοξον ἱστορεῖν, ὅτι ἀναφέρεται πίσσα, καίτοι παρεχούσης αὐτῆς ἰχθῦς· ὅ τι δ' ἂν ἐμβάλῃς εἰς αὐτήν, ἐπὶ θαλάττης φαίνεσθαι τεττάρων ὄντων ἀνὰ μέσον σταδίων.

CLIV (170). Λύκον δὲ περὶ τὴν ἐν Μύλαις τῆς Σικελίας δένδρα φύεσθαι, διὰ μέσης δ' αὐτῆς ἀναθεῖν ὕδωρ τὸ μὲν ψυχρόν, τὸ δὲ τοὐναντίον.

CLV (171). Φανίαν δὲ τὴν τῶν Πυράκων λίμνην ὅταν ἀναξηρανθῇ κάεσθαι.

2. μειοῦσθαι vulg., ἰοῦσθαι Meurs. et Casaub., qui et κατιοῦσθαι

CLII. Sotion c. 22. Tzetz. ad Lyc. v. 704. ‖ 5. ὀρνιθων (sine accentu) cod., ὀρνιθίων s. ὀρνίων Bast. ‖ ὑπεραίρει Meurs. ‖ 6. τελευτᾷ Meurs. ‖ 7. Ἀορνεῖτιν cod., Ἀορνεῖτιν vulg. in mg. cod. σημειοῦ τὴν αἰτίαν, δι' ἣν τὴν Ἄορνον λίμνην οὐχ ὑπερίπταται πτηνόν. ‖ 8. mir. ausc. c. 102. Tim. fr. 124. G. ‖ 9. κατὰ τύχην et 10. λέγειν vulg., corr. Bentl.

CLIII. Plin. 35, 15. Vitruv. 8, 3.

CLIV. 20. ἀναζεῖν Bentl.

CLV. 22. Πυρραίων Meurs., Συράκων Bentl.

CLVI (172). *Καὶ τὴν Ἀσκανίαν πότιμον οὖσαν τὸ προσενεχθὲν αὐτῇ πλύνειν ἄνευ ῥύμματος, ἐὰν ἐαθῇ δὲ ἐν αὐτῇ πλείω χρόνον, διαπίπτειν αὐτόματον.*

CLVII (173). *Περὶ δὲ τῆς ἐν Κιτίῳ φησὶν Νικαγόραν, ὅτι ἀνιμηθείσης ἐπ' ὀλίγον τῆς γῆς ἅλες εὑρίσκονται.*

CLVIII (174). *Περὶ δ' αὖ τῶν ὑδάτων Θεόφραστόν φησι τὸ καλούμενον Στυγὸς ὕδωρ λέγειν, ὅτι ἐστὶν ἐν Φενεῷ, στάζει δ' ἔκ τινος πετριδίου· τοὺς δὲ βουλομένους αὐτοῦ ὑδρεύεσθαι σπόγγοις πρὸς ξύλοις δεδεμένοις λαμβάνειν, διακόπτειν δὲ πάντα τὰ ἀγγεῖα πλὴν τῶν κερατίνων, τὸν δὲ ἀπογευσάμενον τελευτᾶν.*

CLIX (175). *Ἐν δὲ τῇ Λεοντίνων ἱστορεῖν Λύκον τοὺς ὀνομαζομένους * ἀναζεῖν μὲν ὡς θερμότατον τῶν ἑψομένων, τὰς δὲ πηγὰς εἶναι ψυχράς. τῶν δὲ πλησιαζόντων αὐτοῖς τὸ μὲν τῶν ὀρνίθων γένος ἀποθνήσκειν εὐθύς, τοὺς δὲ ἀνθρώπους μετὰ τρίτην ἡμέραν.*

CLX (176). *Ὅμοιον δὲ τούτῳ καὶ τὸ περὶ τὸν Κώων χύτρινον γίνεσθαι· καὶ γὰρ ἐκεῖνον ἀτμὸν μὲν ἐκβάλλειν καὶ ποιεῖν ἔμφασιν τοῦ ζεῖν, τὰ δὲ καθειμένα καθ' ὑπερβολὴν ψύχειν.*

CLXI (177). *Εἶναι δὲ παρὰ τοῖς Κώοις καὶ ἄλλο*

CLVI. Mir. ausc. c. 53.

CLVII. Plin. 31, 7. ‖ 4. *τὴν* Hemst. ‖ *Κιττῷ* vulg., corr. Meurs. ‖ *φασὶν* vulg., *φάσκειν* Bentl. ‖ 5. *ἀνειμηθείσης* Xyl., *ἀναμηθείσης* v. *ἀπαμηθείσης* Hemst.

CLVIII. Plin. 31, 2. ‖ 7. *περὶ τῶν αὐτῶν* et *φασὶ* vulg. corr. Bentl. ‖ 9. *Φοινίῳ* vulg., corr. Meurs.

CLIX. Plin. 31, 2. ‖ 14. post *ὀνομαζ.* addit *Δειλλους* Meurs., *Κρατῆρας* Cluver.

CLX. 19. *Χύτρινον* vulg. ‖ 20. *τοῦ ζεῖν*] *τόξιον* edd., *τοζιον* cod., corr. Bentl.

τι ῥευμάτιον, ὃ πάντας τοὺς ὀχετοὺς ὅθεν διαρρεῖ λίθους πεποίηκεν. τοῦτο δὲ καὶ Εὔδοξος καὶ Καλλίμαχος παραλείπουσιν, ὅτι ἐκ τοῦδε τοῦ ὕδατος οἱ Κῷοι λίθους λατομήσαντες ᾠκοδόμησαν τὸ θέατρον· οὕτως ἰσχυρῶς ἀπολιθοῦται πᾶν γένος.

CLXII (178). *Λέγειν δὲ τὸν Εὔδοξον καὶ περὶ τῶν ἐν τῇ Πυθοπόλει φρεάτων, ὅτι παραπλήσιόν τι τῷ Νείλῳ πάσχουσι· τοῦ μὲν γὰρ θέρους ὑπὲρ τὰ χείλη πληροῦσθαι, τοῦ δὲ χειμῶνος οὕτως ἐκλείπειν ὥστε μηδὲ βάψαι ῥᾴδιον εἶναι.*

CLXIII (179). *Καὶ περὶ τοῦ κατὰ τὴν Κρήτην ὑδατίου, οὗ οἱ ὑπερκαθίζοντες, ὅταν ὑετὸς ᾖ, διατελοῦσιν ἄβροχοι, παραδεδόσθαι δὲ τοῖς Κρησίν, ἀπ' ἐκείνου λούσασθαι τὴν Εὐρώπην ἀπὸ τῆς τοῦ Διὸς μίξεως.*

CLXIV (180). *Ἐν δὲ Λυγκησταῖς Θεόπομπον φάσκειν τι εἶναι ὕδωρ ὀξύ, τοὺς δὲ ἐκ τούτου πίνοντας ὥσπερ ἐπὶ τῶν οἴνων ἀλλοιοῦσθαι, καὶ τοῦθ' ὑπὸ πλειόνων μαρτυρεῖται.*

CLXV (181). *Τὸ δ' ἐκ τῆς πέτρας Ἀρμενίων ἐκπίπτον Κτησίαν ἱστορεῖν ὅτι συμβάλλει ἰχθῦς μέλανας, ὧν τὸν ἀπογευσάμενον τελευτᾶν.*

CLXVI (182). *Περὶ δὲ πυρὸς Κτησίαν φησὶν ἱστορεῖν, ὅτι περὶ τὴν τῶν Φασηλιτῶν χώραν ἐπὶ τοῦ τῆς*

CLXI. 1. *διαρρεῖν* Xyl.

CLXII. Mir. ausc. c. 54. ‖ 7. *Μυθοπόλει* vulg.

CLXIII. Sotion c. 4. ‖ 13. *δὲ*] *δὴ* Meurs. ‖ 14. *λούεσθαι* Xyl.

CLXIV. Theop. ap Ath. 2. p. 43. D. fr. 229. W. Sotion c. 19. ‖ 15. *Λυκήσταις* vulg., corr. Meurs.

CLXV. Plin. 31, 2. Ctes. fr. p. 370 B. ‖ 21. *ὧν*] *ὥστε* vulg., corr. Meurs.

CLXVI. Mir. ausc. c. 127. Ctes. fr. p. 291.

Χιμαίρας ὄρους ἐστὶ τὸ καλούμενον ἀθάνατον πῦρ· τοῦτο δὲ ἐὰν μέν τις ὕδωρ ἐμβάλῃ καίεσθαι βελτίον, ἐὰν δὲ φορυτὸν ἐπιβαλὼν πήξῃ τις σβέννυσθαι.

CLXVII (183). *Παραπλήσιον δὲ τούτῳ ὁρᾶται γινόμενον ἐπὶ ἁλός· ἐδωρήσατο γὰρ ἡμῖν Σικελὸς ξένος τοιοῦτον, ὃς ἐν μὲν τῷ πυρὶ ἐτήκετο, ἐν δὲ τῷ ὕδατι ἥλλετο.*

CLXVIII (184). *Περὶ δὲ λίθων τὸν αὐτὸν τοῦτον λέγειν, τὸν παρὰ τοῖς Βοττιαίοις ἐν Θράκῃ γινόμενον, ὅταν ὁ ἥλιος προσβάλλῃ, πῦρ ἐξ αὐτοῦ ἐκθυμιᾶσθαι· ἐκεῖνος * δ' ἵνα παρέχῃ γνοὺς μὲν τὴν τῶν ἀνθράκων χροιὰν διαμένοντας ἀφθάρτους * κἂν σβέσαι τις πάλιν ἐπικεχειρήκασιν τὴν αὐτὴν ἐνέργειαν συντελεῖν.*

CLXIX (185). *Περὶ δὲ φυτῶν τῆς ἀκάνθου εἶδος Ἀριστοτέλην φάσκειν περὶ τὴν Ἐρύθηναν εὑρίσκεσθαι διαποίκιλον τὴν χρόαν, ἐξ οὗ πλῆκτρα γίνεσθαι. Τίμων δὲ ὁ κιθαρῳδὸς εἶχεν καὶ ἐπεδείκνυεν πολλοῖς, φάσκων αὐτῷ τὸν διδάσκαλον Ἀρτοκλῆν δεδωρῆσθαι, εἶναι δ' αὐτῶν τὴν ἀφὴν ἐν τῇ χρείᾳ σκληράν.*

CLXX (186). *Περὶ δὲ Θεσπρωτοὺς ἐκ τῆς γῆς*

1. *Χιμαίρας*] *χειμερίας* cod. in mg. ‖ 2. *μέν τις*] *μὲν εἰς* vulg., corr. Meurs. ‖ 3. *φορτίον* vulg., corr. Salm. ‖ *πνίξῃ* Bentl.

CLXVII. Solin c. 11. ‖ 5. *Ἀκραγαντίνου* ante *ἁλός* excidisse putat Meurs. ‖ 6. ὅς] ὃ vulg., corr. Bentl.

CLXVIII. 10. *ἐκθυμιᾶται* Xyl. ‖ 11. locus plane conclamatus, cui nihil opis sese afferre posse fatetur. Bentl. Niclas coni. *ἐκείνοις δ' οὖν παρέχειν τοὺς μὲν τὴν τῶν ἀνθράκων χρείαν διαμένοντας ἀφθάρτους — ἐπικεχειρηκόσι*, Teucher *ἐκεῖνος δὲ εἶναι παρέχει λύχνους μὲν τὴν τῶν ἀ. χρ.* etc., Iacobs *ἐκεῖνος δ' ἂν παρέχοι πυγασμένος τὴν τ. ἀ. χρείαν διαμένων πᾶς ἄφθαρτος*. ‖ 12. *σβέσας* Xyl.

CLXIX. 15. *περὶ δὲ τούτων τῆς ἀκανθείσας* vulg., corr. Bentl. ‖ 18. *ἀπεδείκνυεν* Beckm. ‖ 20. *αὐτῶν*] *αὐτῷ* cod.

CLXX. Plin. 37, 7.

ἄνθρακας ὀρύττεσθαι δυναμένους κάεσθαι Θεόπομπόν φησιν καταγράφειν.

CLXXI (187). *Φανίαν δὲ κατά τινας τόπους τῆς Λέσβου καὶ περὶ τῶν Νεανδρίδων τὰς βώλους τὰς τῶν ὄψεων καθηγήσεις γίνεσθαι καὶ χρησίμας, καὶ εἰς ὕδωρ ἐμβληθείσας οὔτε καταδύνειν οὔτε κατατήκεσθαι. ὑπὸ τοῦτο τὸ γένος πίπτοι ἂν καὶ ἐν Πιτάνῃ πλίνθος ἡ λεγομένη ἐπιπλεῖν.*

CLXXII (188). *Περὶ δὲ τῶν ζώων Λύκον μὲν ἐν τῇ Διομηδείᾳ τῇ νήσῳ φησὶν ἱστορεῖν, τοὺς ἐρωδιοὺς ὑπὸ μὲν τῶν Μήδων, ὅταν παραβάλλῃ τις εἰς τοὺς τόπους, οὐ μόνον ψαυομένους ὑπομένειν, ἀλλὰ καὶ προσπετομένους εἰς τοὺς κόλπους ἐνδύνειν καὶ σαίνειν φιλοφρόνως. λέγεσθαι δέ τι τοιοῦτον ὑπὸ τῶν ἐγχωρίων, ὡς τῶν τοῦ Διομήδους ἑταίρων εἰς τὴν τῶν ὀρνέων τούτων φύσιν μετασχηματισθέντων.*

CLXXIII (189). *Τοὺς δὲ περὶ τὸν Ἀδρίαν ἐνοικοῦντας Ἐνετοὺς Θεόπομπον φάσκειν κατὰ τὸν σπόρου καιρὸν τοῖς κολοιοῖς ἀποστέλλειν δῶρα, ταῦτα δ' εἶναι ψαιστὰ καὶ μάζας. προθέντας δὲ τοὺς ταῦτα κομίζοντας ἀποχωρεῖν, τῶν δὲ ὀρνέων τὸ μὲν πλῆθος ἐπὶ τοῖς ὁρίοις μένειν τῆς χώρας συνηθροισμένον, δύο δ' ἢ τρεῖς*

1. *δυναμένους* cod., *δυνάμεις* Xyl. ‖ Theop. fr. 231. W.

CLXXI. Strab. 13. p. 641. Plin. 35, 14. Vitr. 2, 3. ‖ 4. *Νεανδρείων* Holst. ‖ *βόλους* Xyl. ‖ 5. *καθυλκώσεις* Bentl., *καθυγιάσεις* Nicl. ‖ *γίνεσθαι χρησίμας* Bentl. ‖ 7. *ἐπὶ Τάνῃ* vulg., corr. Meurs.

CLXXII. Mir. ausc. c. 79. ‖ 9. *Τείων* Xyl., *Τρώων* Boch., *Κώων* Meurs., qui et corr. *ζώων*. ‖ 11. *Μήδων*] *Ἑλλήνων* Meurs.

CLXXIII. Theop. ap. Ael. 7, 16. fr. 143. W. mir. ausc. c. 119. ‖ 18. *Ἐνετοὺς* vulg. ‖ 20. *μάζας*] in mg. cod. *ἄλφιτα ἐλαίῳ καὶ οἴνῳ δεδευμένα, ἅπερ ἐπεθυμίουν (ἐπεθυμίων* corr. Bast.) *τοῖς θεοῖς. ψαιστὰ δὲ καλεῖται ἀπὸ τῆς μύλου περιψήσεως, μάζα δὲ ἄρτος, φύραμα.* ‖ *προσθέντας* edd., *προσθέντας* cod.

προσπτάντας καὶ καταμαθόντας ἀφίπτασθαι πάλιν καθαπερεί τινας πρέσβεις ἢ κατασκόπους. ἐὰν μὲν οὖν τὸ πλῆ *

1. πρὸς πάντας edd., προσπτάντας corr. Meurs. et sic cod. ‖ καθάπερ εἰ vulg. ‖ 3. quae desunt ex mir. ausc. sic explet Bentl.: πλῆθος τῶν κολοιῶν γεύσωνται τῶν δώρων, οὐχ ὑπερβαίνουσιν ἐπὶ τὴν χώραν αὐτῶν, καὶ (scr. ἀλλ') οἴδασιν οἱ Ἐνετοὶ ὅτι ἔσονται ἐν εἰρήνῃ ἐὰν δὲ μὴ γεύσωνται, ὡσεὶ πολεμίων ἔφοδον αὐτοῖς γενομένην οὕτω προσδοκῶσιν.

ΑΠΟΛΛΩΝΙΟΥ

ΙΣΤΟΡΙΑΙ ΘΑΥΜΑΣΙΑΙ.

I. *Βώλου Ἐπιμενίδης ὁ Κρὴς λέγεται ὑπὸ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν τοῦ πατρὸς ἀποσταλεὶς εἰς ἀγρόν, πρόβατον ἀγαγεῖν εἰς τὴν πόλιν, καταλαβούσης αὐτὸν νυκτὸς παραλλάξαι τῆς τρίβου καὶ κατακοιμηθῆναι ἔτη ἑπτὰ καὶ πεντήκοντα, καθάπερ ἄλλοι τε πολλοὶ εἰρήκασιν, ἔτι καὶ Θεόπομπος ἐν ταῖς ἱστορίαις ἐπιτρέχων τὰ κατὰ τόπους θαυμάσια. ἔπειτα συμβῆναι ἐν τῷ μεταξὺ χρόνῳ, τοὺς μὲν οἰκείους τοῦ Ἐπιμενίδου ἀποθανεῖν, αὐτὸν δὲ ἐγερθέντα ἐκ τοῦ ὕπνου ζητεῖν ἐφ' ὃ ἀπεστάλη πρόβατον, μὴ εὑρόντα δὲ πορεύεσθαι εἰς τὸν ἀγρόν (ὑπελάμβανε δὲ ἐγηγέρθαι τῇ αὐτῇ ἡμέρᾳ ᾗπερ ἔδοξεν κεκοιμῆσθαι), καὶ καταλαβὼν τὸν ἀγρὸν πεπραμένον καὶ τὴν σκευὴν ἠλλαγμένην ἀπαίρειν εἰς τὴν πόλιν. καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν ἐκεῖθεν πάντα ἔγνω, ἐν οἷς καὶ τὰ περὶ τοῦ χρόνου καθ' ὃν ἀφανὴς ἐγένετο. λέγουσι*

I. 6. Theop. fr. 69. Wichers. cf. Diog. Laert. 1. 10, 109. Plut. t. 2. p. 784. Paus. 1. 14, 4. Plin. h. n. 7, 52. Varro d. l. l. 7. p. 80. ‖ 1. Initium fortasse mutilum est, ut *Βώλου* pertineat ad ea quae praecesserunt, et novum caput incipiat v. *Ἐπιμενίδης*. ‖ 10. *πορεύεσθ'* Xyl. Meurs.

δὲ οἱ Κρῆτες, ὥς φησιν ὁ Θεόπομπος, ἔτη βιώσαντα αὐτὸν ἑκατὸν πεντήκοντα ἀποθανεῖν. λέγεται δὲ περὶ τοῦ ἀνδρὸς τούτου καὶ ἄλλα οὐκ ὀλίγα παράδοξα.

II. Ἀριστέαν δὲ ἱστορεῖται τὸν Προικοννήσιον ἔν τινι γναφείῳ τῆς Προικοννήσου τελευτήσαντα ἐν τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐν Σικελίᾳ ὑπὸ πολλῶν θεωρηθῆναι γράμματα διδάσκοντα, ὅθεν πολλάκις αὐτῷ τοῦ τοιούτου συμβαίνοντος καὶ περιφανοῦς γιγνομένου διὰ πολλῶν ἐτῶν καὶ πυκνότερον ἐν τῇ Σικελίᾳ φανταζομένου οἱ Σικελοὶ ἱερόν τε καθιδρύσαντο αὐτῷ καὶ ἔθυσαν ὡς ἥρωι.

III. Περὶ δὲ Ἑρμοτίμου τοῦ Κλαζομενίου τοιαῦτά τινα μυθολογεῖται. φασὶν γὰρ αὐτοῦ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος πλαζομένην ἀποδημεῖν ἐπὶ πολλὰ ἔτη καὶ κατὰ τόπους γινομένην προλέγειν τὰ μέλλοντα ἀποβήσεσθαι, οἷον ὄμβρους μεγάλους καὶ ἀνομβρίας, ἔτι δὲ σεισμούς τε καὶ λοιμοὺς καὶ παραπλήσια, τοῦ σωματίου κειμένου, τὴν δὲ ψυχὴν καθάπερ εἰς ἔλυτρον διὰ χρόνων τινῶν εἰσερχομένην διεγείρειν τὸ σῶμα. τοῦτο δὲ αὐτοῦ πολλάκις ποιοῦντος καὶ τῆς γυναικὸς ἐντολὰς ὑπ' αὐτοῦ ἐχούσης, ὅτε μέλλοι χωρίζεσθαι, μηδένα θίγειν τοῦ σωματίου μηδέ τινα τῶν πολιτῶν μηδ' ἄλλον ἀνθρώπων, εἰσελθόντες τινὲς εἰς τὴν οἰκίαν καὶ ἐκλιπαρήσαντες τὸ γύναιον ἐθεώρησαν χαμαὶ κείμενον γυμνὸν τὸν Ἑρμότιμον ἀκίνητον. οἱ δὲ πῦρ λαβόντες κατέκαυ-

1. ὁ om. vulg. ‖ ἔτη] ἔτι Xyl. Extrema verba sic corrigi vult Wichers: *λέγουσι μὲν οἱ Κρῆτες ἔτη βιώσαντα αὐτὸν ἑνὸς δέοντος τριακόσια ἀποθανεῖν, ὡς δὲ φησιν Θεόπομπος, ἰβίῳ ἑκατὸν πεντήκοντα καὶ ἑπτά.*

II. Herod. 4, 14. Max. Tyr. diss. 16. 38. Plin. 7, 52.

III. Plin. 7, 52. Lucian. enc. musc. c. 7. Tertull. d. an. c. 44. ‖ 22. ἄλλων Meurs.

σαν αὐτόν, οἰόμενοι τῆς ψυχῆς παραγενομένης καὶ μηκέτι ἐχούσης ὅπου εἰσδύσεται παντελῶς στερήσεσθαι τοῦ ζῆν, ὅπερ καὶ συνέπεσεν. τὸν μὲν οὖν Ἑρμότιμον Κλαζομένιοι τιμῶσι μέχρι τοῦ νῦν καὶ ἱερὸν αὐτοῦ καθίδρυται, εἰς ὃ γυνὴ οὐκ εἰσέρχεται διὰ τὴν προειρημένην αἰτίαν.

IV. Ἄβαρις δὲ ἐξ Ὑπερβορέων ἦν μὲν καὶ αὐτὸς τῶν θεολόγων, ἔγραφε δὲ καὶ χρησμοὺς ταῖς χώραις περιερχόμενος, οἳ εἰσιν μέχρι τοῦ νῦν ὑπάρχοντες. προέλεγεν δὲ καὶ οὗτος σεισμοὺς καὶ λοιμοὺς καὶ τὰ παραπλήσια καὶ τὰ γιγνόμενα κατ' οὐρανόν. λέγεται δὲ τοῦτον εἰς Λακεδαίμονα παραγενόμενον εἰρηκέναι τοῖς Λάκωσι κωλυτήρια θῦσαι τοῖς θεοῖς, καὶ ἐκ τούτου ὕστερον ἐν Λακεδαίμονι λοιμὸς οὐκ ἐγένετο.

V. Τὰ δὲ περὶ Φερεκύδην τοσαῦτά τινα ἱστορεῖται. ἐν Σκύρῳ ποτὲ τῇ νήσῳ διψῶντα ὑδάτιον αἰτῆσαι παρά τινος τῶν γνωρίμων, τὸν δὲ πιόντα εἰπεῖν σεισμὸν ἐσόμενον ἐν τῇ νήσῳ μετὰ τρίτην ἡμέραν. τούτου δὲ συμβάντος μεγάλην δόξαν αὐτὸν ἀπενέγκασθαι. πάλιν δὲ εἰς Σάμον πορευόμενος εἰς τὸ τῆς Ἥρας ἱερὸν ἰδεῖν πλοῖον εἰς τὸν λιμένα καταγόμενον, καὶ εἰπεῖν τοῖς συνεστῶσιν, ὡς οὐκ εἰσελεύσεται ἐντὸς τοῦ λιμένος. ἔτι δὲ λέγοντος αὐτοῦ καταρραγῆναι γνόφον καὶ τέλος ἀφανισθῆναι τὴν ναῦν.

VI. Τούτοις δὲ ἐπιγενόμενος Πυθαγόρας, Μνησάρχου υἱός, τὸ μὲν πρῶτον διεπονεῖτο περὶ τὰ μαθήματα καὶ τοὺς ἀριθμούς, ὕστερον δέ ποτε καὶ τῆς Φερεκύδου

IV. Intpp. ad. Herod. 4, 36. || 8. τὰς χώρας Toup.

V. Diog. Laert. 1. 11, 116. Euseb. pr. ev. 10, 3. p. 464 sq. || 16. Σύρῳ corr. Xyl.

VI. 27. Jambl. vit. Pyth. c. 28.

τερατοποιίας οὐκ ἀπέστη. καὶ γὰρ Μεταποντίῳ πλοίῳ εἰσερχομένῳ φορτίον ἔχοντι καὶ τῶν παρατυχόντων εὐχομένων, σωστὸν εἶναι καὶ ἐλθεῖν διὰ τὸν φόρτον, ἑστῶτα τοῦτον εἰπεῖν »νεκρὸν τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ πλοῖον τοῦτο.« πάλιν δὲ ἐν Καυλωνίᾳ, ὥς φησιν Ἀριστοτέλης γράφων περὶ αὐτοῦ πολλὰ μὲν καὶ ἄλλα λέγει καί, τὸν ἐν Τυρρηνίᾳ, φησίν, δάκνοντα θανάσιμον ὄφιν αὐτὸς δάκνων ἀπέκτεινεν. καὶ τὴν γενομένην δὲ στάσιν τοῖς Πυθαγορείοις προειπεῖν. διὸ καὶ εἰς Μεταπόντιον ἀπῆρεν ὑπὸ μηδενὸς θεωρηθείς. καὶ ὑπὸ τοῦ κατὰ Σάμον ποταμοῦ διαβαίνων σὺν ἄλλοις ἤκουσε φωνὴν μεγάλην ὑπὲρ ἄνθρωπον »Πυθαγόρα χαῖρε.« τοὺς δὲ παρόντας περιδεεῖς γενέσθαι. ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι καὶ ἐν Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ. ἐν θεάτρῳ δὲ καθήμενός ποτε ἐξανίσταται, ὥς φησιν Ἀριστοτέλης, καὶ τὸν ἴδιον μηρὸν παρέφαινε τοῖς καθημένοις [εἰς] χρυσοῦν. λέγεται δὲ περὶ αὐτοῦ καὶ ἄλλα τινὰ παράδοξα. ἡμεῖς δὲ μὴ βουλόμενοι μεταγραφέων ἔργον ποιεῖν αὐτοῦ τὸν λόγον καταπαύσομεν.

VII. Ἀριστοτέλης δ' ἐν τοῖς φυσικοῖς προβλήμασιν τοὺς περὶ τὴν φυτείαν τῆς κριθῆς γινομένους χλωρότερα ἴσχειν καὶ τὰ σώματα μᾶλλον ἢ περὶ τὸν πυρὸν κατασχολουμένους.

1. Μεταποντίῳ] τῷ Ποντίου vulg., Μεταποντίου Meurs., τῷ Μεταπόντιον Teuch. || 3. εἶναι καὶ ἐλθεῖν corr. Teuch., vulg. εἶναι κατελθεῖν, Meurs. ἐκεῖνο κατελθεῖν. || 4. νεκρὸν corr. Meurs., vulg. μικρόν. || 6. post Ἀριστοτέλης videtur ὡς excidisse, nisi maiorem vis esse lacunam, explendam ex Jambl l. l. || 11. Diog. Laert. 8. 1, 11. Ael. v. h. 2, 26. 4, 17. Porph. vit. Pyth. c. 27. || Σάμον] Νέσσον Diog., Κώσαν Ael., Καύκασον Porph. || 12. ἀνθρώπων vulg. || 17. εἰς delendum aut ὡς scribendum esse censet Rittershus.

VII. Arist. probl. 21, 24. 38, 10. || 22. post καὶ f. καταρροϊκὰ excidit.

VIII. *Ἄνδρων ἐν τῇ δ' τῶν πρὸς Φίλιππον θυσιῶν· κορώνη ἐν τῇ Ἀττικῇ εἰς τὴν ἀκρόπολιν οὐδεμία ἑώραται εἰσερχομένη, καθάπερ οὐδὲ ἐν Πάφῳ περὶ τὰ θυρώματα τὰ τῆς Ἀφροδίτης μυῖα ἐφιπταμένη.*

IX. *Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασί φησιν· οἱ μονοσιτοῦντες πικρότερα τὰ ἤθη ἔχουσιν μᾶλλον ἢ οἱ δὶς τροφαῖς χρώμενοι.*

X. *Θεόπομπος δὲ ἐν τοῖς θαυμασίοις, ἐν τῷ ἀγῶνι τῶν Ὀλυμπίων πολλῶν ἐπιπολαζόντων ἰκτίνων ἐν τῇ πανηγύρει καὶ διασυριζόντων τὰ διαφερόμενα κρέα τῶν ἱεροθύτων ἀθιγῆ μένειν.*

XI. *Ἀριστοτέλης δὲ ἐν νομίμοις βαρβαρικοῖς· [ἐν Λάτμῳ] τῆς Καρίας σκορπίοι γίνονται, οἳ τοὺς μὲν ξένους πατάξαντες οὐ λίαν ἀδικοῦσι, τοὺς δὲ ἐπιχωρίους παραυτὰ ἀποκτείνουσιν.*

XII. *Περὶ Βαβυλῶνα δὲ διαβάντι τὸν Εὐφράτην ποταμὸν ὀφίδια γίγνεται, καὶ τοὺς μὲν ξένους τύπτει, τοὺς δ' ἐντοπίους οὐκ ἀδικεῖ.*

XIII. *Ἐν τῷ κατὰ τόπους μυθικῷ· ἐν Ἁλικαρνασσῷ θυσίας τινὸς τῷ Διὶ τῷ Ἀσκραίῳ συντελουμένης ἀγέλην αἰγῶν ἄγεσθαι πρὸ τοῦ ἱεροῦ καὶ ἵστασθαι· τῶν δὲ κατευχῶν συντελεσθεισῶν προβαίνειν μίαν αἶγα ὑπὸ μηδενὸς ἀγομένην καὶ προσέρχεσθαι τῷ βωμῷ, τὸν δὲ ἱερέα λαβόμενον αὐτῆς καλλιερεῖν.*

XIV. *Φύλαρχος ἐν τῇ η' τῶν ἱστοριῶν καὶ κατὰ*

VIII. Antig. Car. c. 12. Ael. 5, 8. Plin. 10, 12. || 1. *τῇ* ante *δ'* om. Meurs. || 4. *ἐφισταμένη* vulg.

X. Theop. fr. 79. Wich. cf. Arist. mir. ausc. c. 123.

XI. cf. Antig. Car. c. 16. || 12. *ἐν Λάτμῳ* ex Antig. add. Teuch.

XII. cf. Arist. mir. ausc. c. 150.

XIII. cf. Arist. mir. ausc. c. 137.

XIV. Phylarch. fr. 16. Lucht. || 25. *ἱστορικῶν* vulg.

τὸν Ἀράβιόν φησι κόλπον πηγὴν εἶναι ὕδατος, ἐξ οὗ εἴ τις τοὺς πόδας χρίσειεν, συμβαίνειν εὐθέως ἐντείνεσθαι ἐπὶ πολὺ τὸ αἰδοῖον, καὶ τινῶν μὲν μηδ' ὅλως συστέλλεσθαι, τινῶν δὲ μετὰ μεγάλης κακοπαθείας καὶ θεραπείας ἀποκαθίστασθαι.

XV. Σκύμνος δὲ ὁ Χῖος τὴν Βρεττανικὴν νῆσον λέγει σταδίων εἶναι τετρακοσίων τὸ περίμετρον, γίγνεσθαι δὲ ἐν αὐτῇ τὰ γεννήματα ἀπύρηνα, οἷον τὰς ἐλαίας πυρῆνας μὴ ἔχειν μηδὲ βότρυς γίγαρτον μηδὲ τὰ ἐμφερῆ τούτοις.

XVI. Θεόφραστος δὲ ἐν τῇ περὶ τῶν φυτῶν πραγματείᾳ τὴν θαψίαν ῥίζαν, ᾗ οἱ ἰατροὶ χρῶνται, ἐάν τις σὺν κρέασιν ἑψήσῃ, τὰ πολλὰ ἓν γίγνεσθαι, ὥστε ἐκ τοῦ ἀγγείου μηκέτι δύνασθαι ἐξαιρεθῆναι.

XVII. Κτησίας παρ' Ἰνδοῖς ξύλον γίγνεσθαί φησιν, ὃ καλεῖται πάρηβον. τοῦτ' ἐφ' ἑαυτὸ ἕλκει πᾶν τὸ προσκομισθὲν αὐτῷ, οἷον χρυσόν, ἄργυρον, κασσίτερον, χαλκὸν καὶ τἄλλα μεταλλικὰ πάντα. ἕλκει δὲ καὶ τὰ σύνεγγυς ἱπτάμενα στρουθία· ἐὰν δὲ μεῖζον ᾖν τὸ ξύλον, καὶ αἶγας καὶ πρόβατα καὶ τὰ ὁμήλικα ζῶα.

XVIII. Φύλαρχος ἐν κ' τῶν ἱστοριῶν ἐκ τῆς Ἰνδικῆς φησιν ἐνεχθῆναι λευκὴν ῥίζαν, ἣν κόπτοντες μεθ' ὕδατος καταπλάττειν τοὺς πόδας, τοὺς δὲ καταπλασθέντας ἄνδρας τῆς συνουσίας λήθην ἴσχειν καὶ γίγνεσθαι

XV. 6. Σκύμνος corr. Meurs., vulg. Σκυτῖνος. || 7. τετρακισχιλίων τετρακοσίων Teuch. || 9. γίγαρτον Xyl.

XVI. 12. θάψον corr. B. a Stapel.

XVII. Ctes. ap. Phot. bibl. cod. 72. p. 47. a. cf. Baehr. Ctes. fr. p. 252. 314. 361. || 15. γενέσθαι vulg. || 16. πάρηβον Phot., vulg. πάρυβον. || 19. ἱστάμενα vulg.

XVIII. Phylarch. fr. 38. Lucht. || 21. τῶν om. vulg.

ὁμοίους εὐνούχοις. διότι καὶ ἔτι ἀνήβων ὄντων κατακρίουσι καὶ μέχρι θανάτου οὐκ ἐπαίρουσιν.

XIX. *Ἡρακλείδης δὲ ὁ κριτικὸς ἐν τῷ περὶ τῶν ἐν τῇ Ἑλλάδι πόλεων κατὰ τὸ Πήλιον ὄρος φύεσθαί φησιν ἄκανθαν καρποφόρον, ἧς τὸν καρπὸν ἐάν τις τρίψας μετ' ἐλαίου καὶ ὕδατος χρίσῃ τὸ αὐτοῦ ἢ ἄλλου σῶμα χειμῶνος ὄντος, οὐκ ἐπαισθήσεται τοῦ ψύχους.*

XX. *Κτησίας δὲ ἐν τῇ δεκάτῃ Περσικῶν καμήλους τινὰς ἐν τῇ χώρᾳ γίγνεσθαι, ἃς ἔχειν τρίχας πρὸς Μιλήσια ἔρια τῇ μαλακότητι, ἐκ δὲ τούτων τοὺς ἱερεῖς καὶ τοὺς ἄλλους δυνάστας τὰς ἐσθῆτας φέρειν.*

XXI. *Τῶν παρατετηρημένων δ' ἐστὶ τὸ τὰ δίχηλα μόνα τῶν ζώων εἰς τοὺς ὀπισθίους πόδας ἀστραγάλους ἔχειν. ἀποδέδωκεν τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς φυσικοῖς προβλήμασιν, διὰ τί ἐν τοῖς ὀπισθίοις, καὶ οὐκ ἐμπροσθίοις. οὐδὲν γὰρ μάτην ἡ φύσις ἐποίησεν.*

XXII. *Συνῶπται δὲ ἐν τῷ βίῳ καὶ τὸ μηδὲν τῶν κερασφόρων ζώων ἀποψοφεῖν· ἀποδέδωκεν δὲ καὶ τούτων τὴν αἰτίαν Ἀριστοτέλης ἐν τοῖς προβλήμασιν.*

XXIII. *Θαυμαστὸν δὲ καὶ τὸν ἥλιον ἐπικαίειν ἡμᾶς, τὸ δὲ πῦρ μηδ' ὅλως, καὶ τὸ τὸν ἀδάμαντα μὴ θερμαίνεσθαι πυρούμενον, καὶ μάγνητα λίθον ἡμέρας μὲν οὔσης ἕλκειν, νυκτὸς δὲ ἧττον ἢ οὐδὲ ὅλως ἕλκειν.*

XXIV. *Εὔδοξος ὁ Ῥόδιος περὶ τὴν Κελτικὴν εἶναί*

XIX. 3. *κριτικὸς* Olear., *Κρητικὸς* vulg. ‖ 6. *αὑτοῦ* vulg. ‖ 7. *ἐπησθήσεται* vulg.

XX. Ctes. fr. p. 224. Baehr. Ael. hist. an. 17, 34. ‖ 9. *τῇ* om. Meurs. ‖ 10. *ἱεροὺς* Xyl.

XXI. Arist. d. part. an. 4, 10.

XXII. 19. Arist. probl. 10, 44.

XXIII. Ar. probl. 38, 7. Plin. 37, 4.

τι ἔθνος φησίν, ὃ τὴν ἡμέραν οὐ βλέπειν, τὴν δὲ νύκτα ὁρᾶν.

XXV. Ἀριστοτέλης ἐν τῷ περὶ μέθης, Ἄνδρων, φησίν, Ἀργεῖος ἐσθίων πολλὰ καὶ ἁλμυρὰ καὶ ξηρὰ δι' ὅλου τοῦ βίου ἄδιψος καὶ ἄποτος διετέλεσεν, ἔτι δὶς πορευθεὶς εἰς Ἄμμωνα διὰ τῆς ἀνύδρου ὁδοῦ ἄλφιτα ξηρὰ σιτούμενος οὐ προσηνέγκατο ὑγρόν. τοῦτο δὲ ἐποίησε δι' ὅλου τοῦ βίου.

XXVI. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ τῆς ζωῆς καὶ θανάτου φησίν, τὴν χελώνην στερισκομένην τῆς καρδίας ζῆν· οὐκ ἔτι δὲ διώρισεν ποίαν αὐτῶν, ἢ τὴν χερσαίαν ἢ τὴν ἔνυδρον.

XXVII. Ἀριστοτέλης ἐν τοῖς ζωικοῖς (δύο γάρ εἰσιν αὐτῷ πραγματεῖαι, ἡ μὲν περὶ ζώων, ἡ δὲ περὶ τῶν ζωικῶν), οἱ φθεῖρες, φησίν, ἐν τῇ κεφαλῇ ἐν ταῖς μακραῖς οὐ φθίνουσι νόσοις, μελλόντων τελευτᾶν τῶν πασχόντων, ἀλλ' ἐπὶ τὰ προσκεφάλαια εὑρίσκονται, προλελοιπότες τὴν κεφαλήν.

XXVIII. Ἀριστοτέλης ἐν τοῖς ζωικοῖς, ὁ ῥύπος, φησίν, ἐν τοῖς ὠταρίοις γιγνόμενος πικρὸς ὤν, ὅταν τελευτᾶν μέλλωσιν ἐν ταῖς μακραῖς νόσοις γλυκὺς γίνεται. τοῦτο δέ, φησίν, παρατετήρηται ἐπὶ πολλῶν γιγνόμενον. ἀποδέδωκε δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἐν τοῖς φυσικοῖς προβλήμασιν.

XXIX. Θεόφραστος ἐν τῇ περὶ φυτῶν πραγματείᾳ, ἐὰν αἱ μῆτραι, φησί, προπέσωσιν, ἀριστολοχίαν ἐν

XXV. 5. ἄποτος Meurs., ἄπιος Xyl. cod. ἄπιος (ν supra ι). ‖ δὶς] δὲ Xyl., δὲ Meurs.

XXVI. Arist. d. vit. et mort. c. 2. ‖ 11. αὐτὴν Meurs.

XXVII. 13. δὲ ἐν vulg.

XXIX. Theophr. hist. plant. 9, 13. ‖ 26. προπίωσιν cod. et vulg., προσπέσωσιν corr. Meurs.

ὕδατι βεβρεγμένην κατακλείσθωσαν πλείονας ἡμέρας.

XXX. Ἀριστόξενος δὲ ὁ μουσικὸς τεταρταΐζοντας τὴν ἑλξίνην φησὶν βοτάνην μετὰ ἐλαίου τριβομένην καὶ συγχριομένην πρὸ τῆς λήψεως ἀπολύειν τοῦ πάθους.

XXXI. Θεόφραστος ἐν τῷ περὶ φυτῶν, τὰ πρόβατα, φησίν, τὰ ἐν τῷ Πόντῳ τὸ ἀψίνθιον νεμόμενα οὐκ ἔχει χολήν.

XXXII. Θεόφραστος ἐν τῷ περὶ φυτῶν, ἐν Ἰνδοῖς μὴ γίνεσθαι μήτε ἐρέβινθον μήτε φακὸν μήτε κύαμον.

XXXIII. Ἔτι Θεόφραστος ἐν τῷ ζ' περὶ φυτῶν, τῆς Βακτριανῆς ὁδοῦ ἔν τισι κώμαις πυρὸν γίγνεσθαι οὕτως εὐγενῆ, ὥστε πυρῆνος ἐλαίας τὸ μέγεθος ἴσχειν.

XXXIV. Ὁ αὐτὸς φιλόσοφος, ἐν Ὀλυμπίᾳ καὶ Ζακύνθῳ γῇ μιγνυμένη, φησί, τῷ σίτῳ εὐγενέστερον ποιεῖ φαίνεσθαι τοῦτον.

XXXV. Τῶν παρατετηρημένων ἐστὶ δὲ καὶ τοῦτο, τὰς ἐγκύους τῶν γυναικῶν συνεχῶς πλησιαζούσας τοῖς ἀνδράσιν εὐκόπως καὶ ἀκακοπαθήτως τίκτειν. εἴρηκεν δὲ τοῦτο καὶ Ἀριστοτέλης ἐν τῇ ιδ' τῶν ἱστοριῶν.

XXXVI. Σώτακος ἐν τῷ περὶ λίθων, ὁ Καρύ-

XXX. 2. ὁ] οὐ corr. Meurs., quod certe deberet esse οὐχ ὁ.

XXXI. Theophr. hist. plant. 9, 17. Plin. 11, 37.

XXXII. 9. φακὸν Xyl.

XXXIII. Theophr. 8, 4. || 11. ζ'] η' corr. Meurs.

XXXIV. Hist. pl. 9, 11. || 14. ἐν Ὀλύνθῳ καὶ Κηρίνθῳ Theophr., et sic. corr. Meurs. || 15. γῇ μιγνυμένη] δημιγνυμένη vulg., ex Theophr. corr. Meurs.

XXXV. 20. Arist. hist. an. 7, 4. || ιδ' cod., ια' vulg., ζ' corr. Meurs.

XXXVI. Strab. 10. p. 446. Steph. Byz. s. v. Κάρυστος. || 21. Σώτακος corr. Meurs., vulg. Τάκος. || in mg. cod. σημειοῦ περὶ τοῦ Καρυστίου λίθου καὶ λίνου.

στιος, φησίν, λεγόμενος λίθος ἐπιφύσεις ἔχει ἐριώδεις καὶ χνοώδεις, ἐξ οὗ νήθεται καὶ ὑφαίνεται χειρεκμαγεῖα. στρέφουσι δὲ ἐξ αὐτοῦ καὶ ἐλλύχνια, καί ἐστιν καιόμενα λαμπρὰ καὶ ἀκατάκαυστα. τῶν δὲ ἐκμαγείων τῶν ῥυπαινομένων ἡ πλύσις γίγνεται οὐ δι' ὕδατος, ἀλλὰ κληματὶς κάεται καὶ τότε τὸ ἐκμαγεῖον ἐπιτίθεται, καὶ ὁ μὲν ῥύπος ἀπορρεῖ, αὐτὸ δὲ λευκὸν καὶ καθαρὸν γίνεται ὑπὸ τοῦ πυρὸς καὶ πάλιν εἰς τὰς αὐτὰς ἐγχρήζει χρείας. τὰ δ' ἐλλύχνια μένει τὸν ἅπαντα χρόνον ἀκατάκαυστα καιόμενα μετ' ἐλαίου. δοκιμάζει δὲ καὶ τοὺς πτωματιζομένους ἡ ὀσμὴ τοῦ ἐλλυχνίου καιομένου. γίγνεται δὲ ὁ λίθος οὗτος καὶ ἐν Καρύστῳ μέν, ἀφ' οὗ καὶ τοὔνομα ἔλαβεν, πολὺς δὲ ἐν Κύπρῳ, καταβαινόντων ἀπὸ τοῦ Γεράνδρου ὡς ἐπὶ Σόλους πορευομένοις ἐν ἀριστερᾷ τοῦ Ἐλαίου ὑποκάτω πετρῶν. καὶ κατὰ τὸ πανσέληνον αὔξεται καὶ πάλιν φθίνοντος τοῦ σεληνίου μειοῦται καὶ ὁ λίθος.

XXXVII. *Ἀριστοτέλης ἐν φυσικοῖς προβλήμασιν· τῶν κυρτῶν βαρεῖα ἡ ἀναπνοὴ διὰ τοῦ στόματος ἐξέρχεται. ἀποδέδωκεν δὲ καὶ τοῦ γιγνομένου τὴν αἰτίαν.*

XXXVIII. *Εὔδοξος δὲ ὁ Κνίδιος ἐν τῷ ζ' γῆς περιόδου· ἔστιν ἐπὶ πᾶσι τῶν ἐν Λιβύῃ τι ἔθνος, οἱ ὑπεράνω Σύρτεων τε καὶ Καρχηδόνος πρὸς ἀνατολὰς κείμενοι, οἳ καλοῦνται Γύζαντες· οἵτινες τέχνην ἐπιτηδεύουσιν τὰ ἄνθη συλλέγοντες τὰ ἐν τοῖς τόποις μέλι*

2. *χροώδεις* vulg., corr. Bast. || 3. *ἐν λυχνίᾳ* Xyl. Meurs. || 5. cod. *κλιματίς*. || 6. *ὑποτίθεται* Teuch. || 9. *ἀκατασκεύαστα* vulg., corr. Meurs. || 13. *τοὺς* Xyl. || 15. *ὑπὸ κάτω* vulg.

XXXVII. Probl. 13, 10.

XXXVIII. 20. *γῆς*] *τῆς* Xyl. || 21. *ἔστιν*] *φησὶν* corr. Meurs. || cod. *ἔθνος ὃ ὑπεράνω Σ. δὲ καὶ Κ. πρ. ἀν. κείμενοι οἳ καλ.*, vulg. *ἔθνος εἶναι ὃ ὑπὲρ ἄνω —*, Meurs. corr. *ἔθνος εἶναι οἱ ὑπεράνω — κείμενοι καλ.*, Bast. *ἔθνος ὃ — Σ. τε καὶ Κ — κείμενοι καλ.*

ποιεῖν τοσοῦτον καὶ τοιοῦτον, ὥστε γίγνεσθαι οἷον τὸ ὑπὸ τῶν μελισσῶν γιγνόμενον.

XXXIX. Ἀριστοτέλης ἐν ταῖς ἐκλογαῖς τῶν ἀνατομῶν φησιν· ὄφις ὤφθη ἐν Πάφῳ πόδας ἔχων δύο ὁμοίους χερσαίῳ κροκοδείλῳ.

XL. Ἀριστόξενος ὁ μουσικὸς ἐν τῷ Τελέστου βίῳ φησίν, ᾧπερ ἐν Ἰταλίᾳ συνεκύρησεν, ὑπὸ τὸν αὐτὸν καιρὸν γίγνεσθαι πάθη, ὧν ἓν εἶναι καὶ τὸ περὶ τὰς γυναῖκας γενόμενον ἄτοπον· ἐκστάσεις γὰρ γίγνεσθαι τοιαύτας, ὥστε ἐνίοτε καθημένας καὶ δειπνούσας, ὡς καλοῦντός τινος ὑπακούειν, εἶτα ἐκπηδᾶν ἀκατασχέτους γιγνομένας καὶ τρέχειν ἐκτὸς τῆς πόλεως. μαντευομένοις δὲ τοῖς Λοκροῖς καὶ Ῥηγίνοις περὶ τῆς ἀπαλλαγῆς τοῦ πάθους εἰπεῖν τὸν θεόν, παιᾶνας ᾄδειν ἐαρινοὺς δωδεκάτης ἡμέρας ξʹ. ὅθεν πολλοὺς γενέσθαι παιανογράφους ἐν τῇ Ἰταλίᾳ.

XLI. Θεόφραστος ἐν τῷ ηʹ τῶν φυτῶν, τὸ σκορπίον βοτάνιον, οἱ δὲ θηλυφόνον καλοῦσιν, ἐπιτιθέμενον τοῖς σκορπίοις ξηραίνειν αὐτοὺς εὐθέως.

XLII. Τῶν παρατετηρημένων ἐστὶ τὸ δυσκατούλωτα ἕλκη γίγνεσθαι ταῖς τε κυούσαις καὶ σπληνικοῖς καὶ τοῖς κιρσοὺς ἔχουσι καὶ ταῖς γυναιξίν, ὅσαις ἰξίαι περὶ τοὺς μηροὺς ἔνεισιν.

XL. 14. δωδεκατης sine accentu cod., cuius in mg. lineola mendum indicat.

XLI. Hist. plant. 9, 18. Plin. 22, 15. 25, 10. 27, 3. ‖ 17. ηʹ] θʹ corr. Meurs. ‖ τὸ Meurs., τὸν Xyl.

XLII. 20. τὸ om. vulg. ‖ 22. ἰξίαις cod., in mg. τοὺς παρ' ἐνίοις λεγομένους κιρσούς, τοὺς ἐν τοῖς σκέλεσιν, ὁμωνύμως τοῖς ἐν τοῖς δένδρεσι. σημαίνει καὶ πόαν τινά, ἣ καὶ χαμαιλέων καλεῖται. καὶ ἑτέρα ἐστί τις, ἀφ' ἧς ὁ ἰξός.

XLIII. Θεόφραστος ἐν τῷ περὶ φυτῶν· περὶ Σόλους τῆς Κιλικίας παρὰ τὸν ποταμὸν τὸν λεγόμενον Πίναρον, οἷ ἡ μάχη Ἀλεξάνδρου πρὸς Δαρεῖον ἐγένετο, αἱ ῥόαι ἀπύρηνοι γίγνονται· δι' ὅλου δὲ * κόκκοι τὸ οἰνῶδες ἔχουσιν.

XLIV. Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων, ἡ μέλισσα, φησίν, ἀποβάλλουσα τὸ κεντρίον ἀποθνήσκει, αἱ δὲ βαστάζουσιν ἔξω τοῦ σμηνιῶνος.

XLV. Τῶν παρατετηρημένων ἐστὶ τὸ καὶ τοῖς λευκοΐοις ἄνθεσιν ἢ στεφάνοις διὰ νυκτὸς λύχνους παρακαίεσθαι, ἵνα εἰς τὴν πρωΐαν ταῦτα παραμένῃ ἀμάραντα. ποιοῦσι δὲ τοῦτο οἱ στεφανηπλόκοι.

XLVI. Θεόφραστος ἐν τῇ ε' τῶν φυτικῶν αἰτιῶν φησίν, τὰ κελύφη τῶν κυάμων περὶ τὰς ῥίζας τῶν δένδρων περιτιθέμενα ξηραίνειν τὰ φυόμενα. καὶ αἱ κατοικίδιαι δὲ ὄρνιθες συνεχῶς ταῦτα ἐσθίουσαι ἄτοκοι γίγνονται. ὅθεν καὶ διὰ ταύτην τὴν αἰτίαν, τάχα δὲ καὶ δι' ἄλλας οἱ Πυθαγόρειοι ἀπηγορεύκασιν τῷ κυάμῳ χρῆσθαι· καὶ γὰρ πνευματοποιὸν καὶ δύσπεπτον, καὶ τοὺς ὀνείρους τεταραγμένους ἡμῖν ἐμποιεῖ.

XLVII. Τὰ ὕδνα βροντῶν συνεχῶν γιγνομένων σκληρότερα γίγνεται, καθάπερ Θεόφραστος ἐν τοῖς περὶ φυτῶν εἴρηκεν.

XLIII. Hist. plant. 2, 2. || 1. in mg. cod. ἀγνοεῖς ποῦ οἱ Σόλοι καὶ ποῦ ὁ Πίναρος ποταμός; τριῶν γὰρ ...... διάστημα ἀπέχει ἀπ' ἀλλήλων. || 3. ἡ om. vulg. || 4. ἄπυροι cod., corr. Xyl. || δὲ τοῦ βίου κ. vulg., cod. δὲ ὕου κ.

XLIV. Hist. an. 9, 27.

XLV. 11. παραμένει vulg.

XLVI. D. causs. plant. 5, 15. || 13. φυσικῶν vulg., corr. Meurs. || 14. κέλυφα cod. et vulg., κελύφια coni. Bast.

XLVII. Plut. sympos. 4, 2.

XLVIII. *Θεόφραστος ἐν τῷ περὶ φυτῶν φησίν· ἡ λιβανωτὶς βοτάνη συντιθεμένη μετὰ ἱματίων κωλύει σῆτας ἐγγίγνεσθαι. ἄξια δ' ἐστὶν ἐπιστάσεως τὰ εἰρημένα.*

XLIX. *Θεόφραστος ἐν τῷ περὶ ἐνθουσιασμῶν ἐξειπεῖν. φησὶ γὰρ ἐκεῖνος τὴν μουσικὴν πολλὰ τῶν ἐπὶ ψυχὴν καὶ τὸ σῶμα γιγνομένων παθῶν ἰατρεύειν, καθάπερ λιποθυμίαν, φόβους καὶ τὰς ἐπὶ μακρὸν γιγνομένας τῆς διανοίας ἐκστάσεις. ἰᾶται γάρ, φησίν, ἡ καταύλησις καὶ ἰσχιάδα καὶ ἐπιληψίαν, καθάπερ πρὸς Ἀριστόξενον τὸν μουσικὸν ἐλθόντα χρήσασθαι αὐτὸν τοῦ μαντείου τοῦ τῆς Πασιφίλης * δαμωτι ἀδελφῆς, λέγεται τὸν μουσικὸν καταστῆσαι τὸν ἐξιστάμενον ἐν Θήβαις ὑπὸ τὴν τῆς σάλπιγγος φωνήν· ἐπὶ τοσοῦτον γὰρ ἐβόησεν ἀκούων ὥστε ἀσχημονεῖν· εἰ δέ ποτε καὶ πολεμικὸν σαλπίσειέ τις, πολὺ χεῖρον πάσχειν μαχόμενον. τοῦτον οὖν κατὰ μικρὸν τῷ αὐλῷ προσάγειν, καὶ ὡς ἄν τις εἴποι ἐκ προσαγωγῆς ἐποίησεν καὶ τὴν τῆς σάλπιγγος φωνὴν ὑπομένειν. θεραπεύει δὲ ἡ καταύλησις καὶ ἐάν τι μέρος τοῦ σώματος ἐν ἀλγήματι ὑπάρχῃ· καταυλουμένου τοῦ σώματος καταύλησις γιγνέσθω ἡμέρας ε' ὡς ἐλάχιστα, καὶ εὐθέως τῇ πρώτῃ ἡμέρᾳ ἐλάττων ὁ πόνος γενήσεται καὶ τῇ δευτέρᾳ. τὸ δὲ γιγνόμενον διὰ τῆς καταυλήσεως ἐπιχωριάζει καὶ ἀλλαχῇ, μάλιστα δὲ ἐν Θήβαις μέχρι τῶν νῦν χρόνων.*

XLVIII. Hist. plant. 9, 11.

XLIX. Ath. 14. p. 624. A. Plin. 28, 2. Gell. 4, 13. || 4. f. *Θεοφράστῳ*, quod iungendum cum *ἄξια — εἰρημένα* (v. 3.), et delendum *ἐξειπεῖν*, pro quo *ἐξεῖπεν* Teuch. || *ἐνθουσιασμοῦ* corr. Meurs. || 10. nihil mutavi; altius enim videtur subesse vitium quam quod sanari possit correctione Meursii *τῆς Πασιφάης Λήτου ἀδελφῆς*, aut Teucheri *ἐλθόντα (χρήσασθαι αὐτὸν τῷ μαντείῳ τῆς Πασιφάης ἅμα τῷ ἐν Δελφοῖς λέγεται) τὸν μ.* || 20. *ε' ὡς*] *ἕως* vulg., cod. *εως*, corr. Meurs.

L. Θεόφραστος ἐν τῷ περὶ φυτῶν, ἐν τῇ ἐσχάτῃ τῆς πραγματείας, Εὔνομος, φησίν, ὁ Χῖος, ὁ φαρμακοπώλης, ἐλλεβόρου πίνων πλείονας πόσεις οὐκ ἐκαθαίρετο. καί ποτε, ἔφη, ἐν μιᾷ ἡμέρᾳ συνθέμενος τοῖς ὁμοτέχνοις περὶ δύο καὶ εἴκοσι πόσεις ἔλαβεν ἐν τῇ ἀγορᾷ καθήμενος καὶ οὐκ ἐξανέστη ἀπὸ τῶν σκευῶν. τότε δ' ἀπῆλθεν λούσασθαι καὶ δειπνῆσαι, ὥσπερ εἰώθει, καὶ οὐκ ἐξήμεσεν. τοῦτο δὲ ἔπραξεν ἐν πολυχρονίῳ συνηθείᾳ γεγονώς, ἀρξάμενος ἀπὸ ὀλίγων ἕως τοσούτων πόσεων. πάντων δὲ τῶν φαρμάκων αἱ δυνάμεις ἀσθενέστεραι τοῖς συνειθισμένοις, ἐνίοις δὲ καὶ ἄπρακτοί εἰσιν. ἄξιον δὲ ἐπιστῆσαι πρᾶγμα.

LI. Ἀριστοτέλης δὲ ἐν τοῖς φυσικοῖς προβλήμασιν εἴρηκεν· τὸν ἄνθρωπόν φησιν βεβρωκότα καὶ πεπωκότα τὸν αὐτὸν σταθμὸν ἄγειν καὶ ὅτε νήστης ὑπῆρχεν. πειρᾶται δὲ καὶ τὴν αἰτίαν τοῦ γιγνομένου ἀποδιδόναι.

L. Hist. plant. 9, 17. || 1. ἐσχάτῃ] ἐνάτῃ corr. Meurs. || 2. Εὔδημος, aut certe Εὔνομος — οὐ φαρμακ. (οὐχ ὁ φ.) voluit Meurs.

LI. 13. προβλήμασι Xyl.

ΦΛΕΓΟΝΤΟΣ ΤΡΑΛΛΙΑΝΟΥ

ΠΕΡΙ ΘΑΥΜΑΣΙΩΝ.

I. . . . . εἰς τὸν ξενῶνα προσπορεύεται ταῖς θύραις καὶ καιομένου τοῦ λύχνου καθημένην ἴδεν τὴν ἄνθρωπον παρὰ τῷ Μαχάτῃ· οὐκ ἔτι δὲ καρτερήσασα πλείονα χρόνον διὰ τὸ θαυμαστὸν τῆς φαντασίας τρέχει πρὸς τὴν μητέρα καὶ βοήσασα μεγάλῃ τῇ φωνῇ, Χαριτοῖ καὶ Δημόστρατε, ᾤετο δεῖν ἀναστάντας ἐπὶ τὴν θυγατέρα αὐτοὺς μετ' αὐτῆς πορεύεσθαι· πεφηνέναι γὰρ ζῶσαν, εἶναί τε μετὰ τοῦ ξένου διά τινα θείαν βούλησιν ἐν τῷ ξενῶνι. τῆς δὲ Χαριτοῦς παράδοξον λόγον ἀκουούσης συνέβη τὴν ψυχὴν τὸ μὲν πρῶτον ἐκπλαγῆ γενομένην. ἐκλυθῆναι διὰ τὸ μέγεθος τῆς ἀγγελίας καὶ διὰ τὴν ταραχὴν τῆς τροφοῦ, μετὰ μικρὸν δὲ μνησθεῖσαν τῆς θυγατρὸς κλαίειν, τὰ δὲ ἔσχατα καταγνῶναι τῆς πρεσβύτιδος μανίαν, κελεύειν τε ἀπαλλάττεσθαι ἀπ' αὐτῆς ταχέως. ὀνειδιζούσης δὲ τῆς τροφοῦ καὶ λεγούσης μετὰ παρρησίας, ὡς μὲν φρονεῖ τε καὶ ὑγιής ἐστιν, εἰ δὲ δι' ὄκνον οὐ βούλοιτο τὴν ἰδίαν θυγατέρα ἰδεῖν, μόλις ἡ Χαριτὼ

I. 14. *μανίαν* cod. et Xyl., *μαίαν*, quod est mendum typ. ed. Meursii, repetiit ac lepide explicare conatus est Frans. || 16. *εἰ δὲ* cod. et Xyl., *ἢ δὲ* Meurs.

τὰ μὲν βιασθεῖσα ὑπὸ τῆς τροφοῦ, τὰ δὲ εἰδῆσαι βουλομένη τὸ συμβεβηκὸς παραγίνεται πρὸς τὰς θύρας τοῦ ξενῶνος· διὰ τὸ γεγονέναι πλείονα χρόνον, ὡς ἂν δευτέρας ἀγγελίας συντετελεσμένης, ὀψέ ποτε ἧκεν ἡ Χαριτώ. διὸ συνέβαινεν ἐκείνους μὲν ἤδη ἀναπαύεσθαι. ἀνακύψασα δ' οὖν ἡ μήτηρ τὰ μὲν ἱμάτια καὶ τὸν τύπον τῆς ὄψεως ἐνόμιζεν ἐπιγινώσκειν, τὴν δὲ ἀλήθειαν ἐξετάσαι κατ' οὐδένα τρόπον δυναμένη τὴν ἡσυχίαν ᾤετο δεῖν ἔχειν· πρωὶ γὰρ ἤλπιζεν ἀναστᾶσα καταλήψεσθαι τὴν ἄνθρωπον· ἐὰν δὲ ὑστερήσῃ, διερωτήσειν τὸν Μαχάτην περὶ πάντων· οὐ γὰρ ἄν ποτε ψεύσασθαι τηλικαύτην πρᾶξιν ἐρωτώμενον αὐτόν· διόπερ σιωπήσασα ἀπῆλθεν. ὄρθρου δὲ γενομένου τὴν μὲν εἴτε διὰ θείαν βούλησιν εἴτε κατ' αὐτοματισμὸν λαθοῦσαν ἀπελθεῖν συνέβη, τὴν δὲ παραγινομένην διὰ τὴν ἀπόλυσιν δυσφορεῖν τῷ νεανίσκῳ, καὶ τῷ ξένῳ πάντα ἐξ ἀρχῆς ἐξηγησαμένην ἀξιοῦν περὶ τὰ γόνατα περιπλεκομένην τοῦ Μαχάτου τὴν ἀλήθειαν εἰπεῖν μηδὲν ἀποκρυψάμενον· ὁ δὲ νεανίσκος ἀγωνιάσας τὴν ἀρχὴν μὲν διεταράχθη, μόλις δέ ποτε τὸ ὄνομα διεσάφησεν, ὅτι Φιλίννιον εἴη· καὶ τὴν ἀρχὴν διηγήσατο τῆς εἰσόδου καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐδήλωσεν ὡς ἧκει, ὅτι λάθρα τῶν γεννησάντων ἔφη παραγίνεσθαι πρὸς αὐτόν, τά τε ὑπολελειμμένα ὑπὸ τῆς ἀνθρώπου βουλόμενος ποιῆσαι τὸ πρᾶγμα πιστὸν ἀνοίξας τὸν ῥίσκον ἐξαιρεῖ, τόν τε δακτύλιον τὸν χρυσοῦν ὃν ἔλαβε παρ' αὐτῆς καὶ τὴν στηθοδεσμίδα ἣν ἀπολελοίπει τῇ πρότερον νυκτί. ὡς δὲ εἶδεν ἡ Χαριτὼ τηλικαῦτα σημεῖα, ἀναβοᾷ καὶ διαρρήξασα ἑαυτῆς τά τε ἐνδύματα καὶ τὸ ἱμάτιον, ἀπό τε τῆς κεφαλῆς ῥίψασα

3. post *διὰ* videtur *δὲ* excidisse. || 18. *ἀποκρυψαμένην* vulg. || 22. f. *ἥκοι*. || 23. *ὑπολειμμένα* Xyl. Meurs. || 27. *ἀπελελοίπει* edd.

τὸν κεκρύφαλον, πεσοῦσά τε εἰς τὴν γῆν καὶ περιχυθεῖσα τοῖς γνωρίσμασιν ἐξ ἀρχῆς ἐποιεῖτο πένθος. θεωρῶν δὲ ὁ ξένος τὸ γινόμενον καὶ πάντας ὄντας ὑπερπαθεῖς καὶ θρηνοῦντας, ὡσανεὶ νῦν μέλλοντας κατορύττειν τὴν ἄνθρωπον, συνεχεῖτο καὶ παρεκάλει δεόμενος παύσασθαι, ἐπαγγελλόμενος ἐὰν παραγένηται δείξειν αὐτήν. ἡ δὲ πεισθεῖσα καὶ ἐντειλαμένη αὐτῷ φροντίσαι μὴ παρέργως τῶν ἐπηγγελμένων ἀπελύθη πρὸς αὐτήν. νυκτὸς δὲ ἐπιγενομένης καὶ τῆς ὥρας οὔσης, καθ' ἣν ἡ Φιλίννιον εἰώθει παραγίνεσθαι πρὸς αὐτόν, οἱ μὲν προσετήρουν εἰδῆσαι θέλοντες τὴν ἄφιξιν, ἡ δὲ ἧκεν. εἰσελθούσης δὲ κατὰ τὸν εἰθισμένον καιρὸν καὶ καθεζομένης ἐπὶ τὴν κλίνην οὐδὲν προσποιηθεὶς ὁ Μαχάτης, ἐξετάσαι δὲ τὸ πρᾶγμα βουλόμενος, τὸ πλέον οὐ πιστεύων, εἰ νεκρᾷ πλησιάζοι οὕτως ἐπιμελῶς παραγινομένῃ κατὰ τὸν αὐτὸν καιρόν, ἔτι δὲ δειπνούσης μετ' αὐτοῦ καὶ συμπινούσης, ἀπίστως εἶχεν οἷς ἐκεῖνοι προήγγειλαν, ᾤετο δὴ νεκρορύκτας τινὰς διωρυχέναι τὸν τάφον καὶ πεπρακέναι τὰ ἱμάτια καὶ τὰ χρύσια τῷ πατρὶ τῆς ἀνθρώπου. βουλόμενος οὖν τὴν ἀκρίβειαν εἰδῆσαί πέμπει τοὺς παῖδας λάθρα καλοῦντας αὐτούς. ταχέως δὲ παραγενομένων τοῦ τε Δημοστράτου καὶ τῆς Χαριτοῦς, ἰδόντων τε αὐτὴν καὶ γενομένων τὸ μὲν πρῶτον ἀφώνων τε καὶ ἐκπλαγῶν διὰ τὸ παράδοξον τῆς ὄψεως, ὕστερον δὲ ἀναβοησάντων μέγα καὶ περιπεσόντων τῇ θυγατρί, τότε ἡ Φιλίννιον τοσαῦτ' εἶπεν αὐτοῖς· «ὦ μῆτερ καὶ πάτερ, ὡς ἀδίκως ἐφθονήσατέ μοι μετὰ τοῦ ξένου ἐπὶ τρεῖς ἡμέρας γενέσθαι ἐν τῇ πατρῴᾳ οἰκίᾳ λυποῦσαν οὐδέν· τοιγαροῦν ὑμεῖς μὲν πενθήσετε ἐξ ἀρχῆς διὰ τὴν πολυπραγμοσύνην, ἐγὼ δὲ ἄπειμι πάλιν εἰς τὸν διατε-

8. αὐτὴν Xyl. Meurs.

ταγμένον τόπον· οὐ γὰρ ἄνευ θείας βουλήσεως ἦλθον εἰς ταῦτα.« τοσαῦτα εἰποῦσα παραχρῆμα ἐγένετο νεκρά, ἐξετέτατό τε ἐπὶ τῆς κλίνης ἐμφανὲς τὸ σῶμα. τῆς δὲ μητρὸς περιχυθείσης καὶ τοῦ πατρὸς περὶ αὐτὴν καὶ θορύβου πολλοῦ καὶ θρήνου κατὰ τὴν οἰκίαν γενομένου διὰ τὸ πάθος, ὡς ἀνηκέστου γεγονότος θεάματος, ἅμα τε ἀπίστου συμπτώματος, ταχέως ἐγένετο διὰ πόλεως τὸ πρᾶγμα περιβόητον καί μοι προσηγγέλη. τὴν μὲν οὖν νύκτα ἐκείνην διακατέσχον ἐγὼ τοὺς ὄχλους ἀθροιζομένους ἐπὶ τὴν οἰκίαν, εὐλαβηθεὶς μή τις εἴη νεωτερισμὸς διαδεδομένης τοιαύτης φήμης. ὄρθρου δὲ βαθέος πλῆρες ἦν τὸ θέατρον. ῥηθέντων δὲ πάντων κατὰ μέρος ἔδοξεν πρῶτον εἰσελθεῖν ἐπὶ τὸν τάφον ἡμᾶς καὶ ἀνοίξαντας εἰδῆσαι, πότερον εἴη τὸ σῶμα ἐπὶ τῆς κλίνης ἢ κενὸν τόπον εὑρήσομεν· οὐδὲ γὰρ ἑξάμηνος ἐγεγόνει τῷ θανάτῳ τῆς ἀνθρώπου. ἀνοιχθείσης δὲ ὑφ' ἡμῶν τῆς καμάρας, εἰς ἣν πάντες οἱ οἰκεῖοι μεταλλάσσοντες ἐτίθεντο, ἐπὶ μὲν τῶν ἄλλων κλινῶν ἐφάνη τὰ σώματα κείμενα, τῶν δὲ παλαίτερον τετελευτηκότων τὰ ὀστᾶ, ἐπὶ μόνης δὲ ἧς ἡ Φιλίννιον ἐτέθη καὶ συνέβη ταφῆναι εὕρομεν ἐπικείμενον τὸν δακτύλιον τὸν σιδηροῦν, ὃς ἦν τοῦ ξένου, καὶ τὸ χρυσόκλυστον ποτήριον, ἅπερ ἔλαβε παρὰ τοῦ Μαχάτου τῇ πρώτῃ τῶν ἡμερῶν. θαυμάσαντες δὲ καὶ ἐκπλαγέντες εὐθέως παρεγενόμεθα πρὸς τὸν Δημόστρατον εἰς τὸν ξενῶνα ὀψόμενοι τὴν νεκράν, εἰ κατ' ἀλήθειαν ἐμφανής ἐστιν. ἰδόντες δὲ χαμαὶ κειμένην εἰς τὴν ἐκκλησίαν ἠθροιζόμεθα· τὰ γὰρ γεγονότα μεγάλα τε ἦν καὶ ἄπιστα. θορύβου δὲ ὄντος νεανικοῦ

3. in mg. cod. legitur: *ὢ τοῦ ψεύδους καὶ τῆς ματαιότητος τοῦ συγγραφέως!* ‖ 12. cod. *πάντων τῶν κατά.* ‖ 24. *παραγενόμεθα* Xyl. Meurs.

κατὰ τὴν ἐκκλησίαν καὶ σχεδὸν οὐδενὸς δυναμένου κρῖναι τὰ πράγματα, πρῶτος Ὕλλος, ὁ νομιζόμενος παρ' ἡμῖν οὐ μόνον μάντις ἄριστος, ἀλλὰ καὶ οἰωνοσκόπος κομψὸς εἶναι, τά τε ἄλλα συνεωρακὼς ἐν τῇ τέχνῃ περιττῶς, ἀναστὰς ἐκέλευεν τὴν μὲν ἄνθρωπον κατακαίειν ἐκτὸς ὁρίων (οὐ γὰρ συμφέρειν ἔτι ταύτην ἐντὸς ὁρίων τεθῆναι εἰς γῆν), ἀποτροπιάσασθαι δὲ Ἑρμῆν Χθόνιον καὶ Εὐμενίδας, εἶτα οὕτω περικαθαίρεσθαι πάντας, ἁγνίσαι δὲ καὶ τὰ ἱερὰ καὶ ὅσα θεοῖς χθονίοις νομίζεται ποιῆσαι συνέτασσεν. ἐμοί τε ἰδίᾳ εἶπεν περὶ τοῦ βασιλέως καὶ τῶν πραγμάτων, θύειν τε Ἑρμῇ, Διί τε Ξενίῳ καὶ Ἄρει, καὶ συντελεῖν ταῦτα μὴ παρέργως. ταῦτα δὲ ἀποφηναμένου τούτου τὸ μὲν συνταχθὲν ἡμεῖς ἐπράττομεν, ὁ δὲ ξένος ὁ Μαχάτης, πρὸς ὃν παρεγίνετο τὸ φάσμα, ὑπ' ἀθυμίας ἑαυτὸν ἐξήγαγεν τοῦ ζῆν. ἐὰν οὖν σοι φαίνηται περὶ τούτων γράφειν τῷ βασιλεῖ, ἐπίστειλον κἀμοί, ἵνα καὶ τῶν σωμάτων τινὰ τῶν ἱστορούντων τὰ κατὰ μέρος ἐξαποστείλω σοι. ἔρρωσο.

II. Ἱστορεῖ δὲ καὶ Ἱέρων ὁ Ἀλεξανδρεὺς ἢ Ἐφέσιος καὶ ἐν Αἰτωλίᾳ φάσμα γενέσθαι. Πολύκριτος γάρ τις τῶν πολιτῶν ἐχειροτονήθη ὑπὸ τοῦ δήμου αἰτωλάρχης, ἐπὶ τρία ἔτη τῶν πολιτῶν αὐτὸν ἀξιωσάντων διὰ τὴν ὑπάρχουσαν ἐκ προγόνων καλοκαγαθίαν. ὢν δὲ ἐν τῇ ἀρχῇ ταύτῃ ἄγεται γυναῖκα Λοκρίδα καὶ συγκοιμηθεὶς τρισὶ νυξὶ τῇ τετάρτῃ τὸν βίον ἐξέλιπεν. ἡ δὲ ἄνθρωπος ἔμενεν ἐν τῇ οἰκίᾳ χηρεύουσα, ἡνίκα δὲ ὁ τοκετὸς ἤπειγεν, τίκτει παιδίον αἰδοῖα ἔχον δύο, ἀνδρεῖόν τε καὶ γυναικεῖον,

2. ὁ νομιζόμενος ex coni. Bastii, quod et Xyl. versione expressit: cod. et edd. ὀνομαζόμενος. ‖ 5. κατακαίειν em. Hemsterh., cod. κατακλείειν. ‖ 6. ὁρίων] ὀρείων vel ὡρείων coni. Meurs.

II. 19. Ἥρων voluit Meurs. ‖ 22. αὐτῶν Xyl.

καὶ τὴν φύσιν θαυμαστῶς διηλλαγμένον· τὰ μὲν ἄνω τοῦ αἰδοίου ὁλόκληρά τε καὶ ἀνδρώδη ἦν, τὰ δὲ περὶ τοὺς μηροὺς γυναικεῖα καὶ ἁπαλώτερα. ἐφ' ᾧ καταπλαγέντες οἱ συγγενεῖς ἀπήνεγκαν εἰς τὴν ἀγορὰν τὸ παιδίον καὶ συναγαγόντες ἐκκλησίαν ἐβουλεύοντο περὶ αὐτοῦ, θύτας τε καὶ τερατοσκόπους συγκαλέσαντες. τῶν δὲ οἱ μὲν ἀπεφήναντο διάστασίν τινα τῶν Αἰτωλῶν καὶ Λοκρῶν ἔσεσθαι· κεχωρίσθαι γὰρ ἀπὸ μητρὸς οὔσης Λοκρίδος καὶ πατρὸς Αἰτωλοῦ· οἱ δὲ δεῖν ᾤοντο τὸ παιδίον καὶ τὴν μητέρα ἀπενέγκοντας εἰς τὴν ὑπερορίαν κατακαῦσαι. ταῦτα δὲ αὐτῶν βουλευομένων ἐξαίφνης φαίνεται ὁ Πολύκριτος ὁ προτεθνηκὼς ἐν τῇ ἐκκλησίᾳ πλησίον τοῦ τέκνου ἔχων ἐσθῆτα μέλαιναν. τῶν δὲ πολιτῶν καταπλαγέντων ἐπὶ τῇ φαντασίᾳ καὶ πολλῶν εἰς φυγὴν τραπομένων παρεκάλεσε τοὺς πολίτας θαρρεῖν καὶ μὴ ταράττεσθαι ἐπὶ τῷ γεγονότι φάσματι. ἐπεὶ δὲ ἔληξε τὸ πλέον τοῦ θορύβου καὶ τῆς ταραχῆς, ἐφθέγξατο λεπτῇ τῇ φωνῇ τάδε· »ἐγὼ, ἄνδρες πολῖται, τῷ μὲν σώματι τέθνηκα, τῇ δὲ εὐνοίᾳ καὶ τῇ χάριτι πρὸς ὑμᾶς ζῶ. καὶ νῦν πάρειμι πρὸς ὑμᾶς τοὺς κυριεύοντας τῶν κατὰ γῆν ἐπὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ. παρακαλῶ τοίνυν ὑμᾶς, πολίτας ὄντας ἐμοῦ, τοῦ μὴ ταράττεσθαι μηδὲ δυσχεραίνειν ἐπὶ τῷ παραδόξῳ γεγονότι φάσματι. δέομαι δὲ ὑμῶν ἁπάντων, κατευχόμενος πρὸς τῆς ἑκάστου σωτηρίας, ἀποδοῦναί μοι τὸ παιδίον τὸ ἐξ ἐμοῦ γεγεννημένον, ὅπως μηδὲν βίαιον γένηται ἄλλο τι βουλευσαμένων ὑμῶν, μὴ δ' ἀρχὴ πραγμάτων δυσχερῶν καὶ χαλεπῶν διὰ τὴν πρὸς ἐμὲ φιλονεικίαν ὑμῖν γένηται. οὐ γὰρ ἐνδέχεταί με περιιδεῖν κα-

1. καὶ τὴν] ἐπὶ τὴν Meurs. ‖ 5. τὴν ἐκκλησίαν edd. ‖ 11. βουλομένων Xyl. ‖ 20. post ὑμᾶς videtur aliquid deesse, velut παραιτησάμενος.

τακανθὲν τὸ παιδίον ὑφ' ὑμῶν διὰ τὴν τῶν ἐξαγγελλόντων ὑμῖν μάντεων ἀποπληξίαν. συγγνώμην μὲν οὖν ὑμῖν ἔχω, ὅτι τοιαύτην ὄψιν ἀπροσδόκητον ἑωρακότες ἀπορεῖτε πῶς ποτε τοῖς παροῦσι πράγμασιν ὀρθῶς χρήσεσθε. εἰ μὲν οὖν ἐμοὶ πεισθήσεσθε ἀδεῶς, τῶν παρόντων φόβων καὶ τῶν ἐπερχομένων κακῶν ἔσεσθε ἀπηλλαγμένοι. εἰ δὲ ἄλλως πως τῇ γνώμῃ προσπεσεῖσθε, φοβοῦμαι περὶ ὑμῶν, μήποτε εἰς ἀνηκέστους συμφορὰς ἀπειθοῦντες ἡμῖν ἐμπέσητε. ἐγὼ μὲν οὖν διὰ τὴν ὑπάρχουσαν εὔνοιαν ὅτ' ἔζων καὶ νῦν ἀπροσδοκήτως παρὼν προείρηκα τὸ συμφέρον ὑμῖν. ταῦτ' οὖν ὑμᾶς ἀξιῶ, μὴ πλείω με χρόνον παρέλκειν, ἀλλὰ βουλευσαμένους ὀρθῶς καὶ πεισθέντας τοῖς εἰρημένοις ὑπ' ἐμοῦ δοῦναί μοι μετ' εὐφημίας τὸ παιδίον. οὐ γάρ ἐνδέχεταί μοι πλείονα μηκύνειν χρόνον διὰ τοὺς κατὰ γῆν ὑπάρχοντας δεσπότας.« ταῦτα δὲ εἰπὼν ἡσυχίαν ἔσχεν ἐπ' ὀλίγον, καραδοκῶν ποίαν ποτὲ ἐξοίσουσιν αὐτῷ γνώμην περὶ τῶν ἀξιουμένων. τινὲς μὲν οὖν ᾤοντο δεῖν ἀποδοῦναι τὸ παιδίον καὶ ἀφοσιώσασθαι τό τε φάσμα καὶ τὸν ἐπιστάντα δαίμονα, οἱ δὲ πλεῖστοι ἀντέλεγον, ἐπὶ σχολῆς δεῖν βουλεύσασθαι φάσκοντες, ὡς ὄντος μεγάλου τοῦ πράγματος καὶ οὐ τῆς τυχούσης αὐτοῖς ἀπορίας. συνιδὼν δὲ αὐτοὺς οὐ προσέχοντας, ἀλλ' ἐμποδίζοντας αὐτοῦ τὴν βούλησιν, ἐφθέγξατο αὖθις τάδε· »ἀλλ' οὖν γε, ὦ ἄνδρες πολῖται, ἐὰν ὑμῖν συμβαίνῃ τι τῶν δυσχερεστέρων διὰ τὴν ἀβουλίαν, μὴ ἐμὲ αἰτιᾶσθε, ἀλλὰ τὴν τύχην τὴν οὕτως ἐπὶ τὸ χεῖρον ὑμᾶς ποδηγοῦσαν, ἥτις ἐναντιουμένη κἀμοὶ παρανομεῖν ἀναγκάζει με εἰς τὸ ἴδιον τέκνον.« τοῦ δὲ ὄχλου συνδραμόντος καὶ περὶ τὴν ἄρσιν τοῦ τέρατος ἔχοντος

17. ἐξοίσωσιν Meurs. || 20. in mg. cod. ad ἐπὶ σχολῆς scriptum est μετὰ ἀνέσεως. || 29. ἄρσιν] ἔριν cod. in mg., ut videtur: f. λύσιν.

ἐπιλαβόμενος τοῦ παιδίου καὶ τοὺς πλείστους αὐτῶν ἀνείρξας ἰταμώτερον διέσπασέ τε αὐτὸ καὶ ἤσθιε. κραυγῆς δὲ γενομένης καὶ λίθων ἐπ' αὐτὸν ἐκριπτομένων ὑπελάμβανον τροπὴν αὐτοῦ ποιήσασθαι. ὁ δὲ ἄπληκτος ὢν ὑπὸ τῶν λίθων τὸ σῶμα πᾶν τοῦ παιδίου κατανάλωσε πλὴν τῆς κεφαλῆς καὶ αὐτίκα ἀφανὴς ἐγένετο. δυσφορούντων δὲ αὐτῶν ἐπὶ τοῖς γενομένοις καὶ ἐν ἀπορίᾳ καθεστηκότων οὐ τῇ τυχούσῃ, βουλομένων τε ἀποστεῖλαι εἰς Δελφούς, φθέγγεται ἡ κεφαλὴ τοῦ παιδίου ἐπὶ τοῦ ἐδάφους κειμένη καὶ λέγει χρησμῷ τὰ ἀποβησόμενα·

ὦ πολυύμνητον ναίων χθόνα λαὸς ἀπείρων,
μὴ στεῖχ' ἐς Φοίβου τέμενος ναόν τε θυώδη·
οὐ γάρ σοι καθαραὶ χέρες αἵματος αἰθέρ' ἔχουσιν,
ἀλλὰ μύσος προπάροιθε ποδῶν ἔντοσθε κελεύθου.
φράζεο δ' ἐξ ἐμέθεν, τρίποδος δ' ἀπόειπε κέλευθον·
μαντοσύνης πᾶσαν γὰρ ἐφετμήν σοι καταλέξω.
ἤματι γὰρ τούτῳ περιτελλομένου ἐνιαυτοῦ
ὥρισται πᾶσιν θάνατος, ψυχαὶ δὲ βίονται
Λοκρῶν Αἰτωλῶν τ' ἀναμὶξ βουλῇσιν Ἀθήνης,
οὐδ' ἀναπαύλησις κακοῦ ἔσσεται, οὐδ' ἠβαιόν.
ἤδη γὰρ ψεκάδες φόνιαι κατὰ κρᾶτα κέχυνται,
νὺξ δ' ἐπὶ πάντα κέκευθε, μέλας δ' ἐπιδέδρομεν αἰθήρ·
αὐτίκα νὺξ δ' ἔρεβος πᾶσαν κατὰ γαῖαν ὄρωρεν,
χῆροι δ' οἶκοι πάντες ἐπ' οὔδεϊ γυῖα κλινοῦσιν,
οὐδὲ γυνὴ πένθος ποτὲ λείψεται, οὐδέ νυ παῖδες
ἐν μεγάροις γοόωσι φίλους πατέρας περιφῦντες·
τοῖον γὰρ τόδε κῦμα κατέδραμε πᾶσι κατ' ἄκρης.
αἶ αἶ πατρίδ' ἐμὴν αἰεὶ στένω αἰνὰ παθοῦσαν,

17. γὰρ Xyl., καὶ Meurs. || 20. οὐδ' ἀναπαύλη τις corr. Bast., οὐδ' ἄρ' ἀνάβλησις ex Hom. Iliad. 2, 380. Schaefer. || 21. φονικαὶ Meurs. || 22. αἴθρη Xyl.

μητέρα τ' αἰνοτάτην, ἣν ὕστερον ἔκλυσεν αἰών.
νώνυμνόν τε θεοὶ γένεσιν θήσουσιν ἅπαντες
Λοκρῶν τ' Αἰτωλῶν θ' ὅ τι που καὶ σπέρμα λίποιτο,
οὕνεκ' ἐμὴν κεφαλὴν λίποι αἰών, οὐδέ νυ πάντα
σώματος ἠφάνικεν μέλε' ἄκριτα, λεῖπε δὲ γαῖαν.
ἀλλά γ' ἐμὴν κεφαλὴν θέμεν' ἠοῖ φαινομένηφι,
μὴ δέ θ' ὑπὸ ζοφερὴν γαῖαν κατακρυπτέμεν ἔνδον·
αὐτοὺς δὲ προλιπόντας ἑὸν χῶρον μετόπισθεν
στείχειν εἰς ἄλλον χῶρον καὶ λαὸν Ἀθήνης,
εἴ τινά που θανάτοιο λύσιν κατὰ μοῖραν ἕλησθε.

ἀκούσαντες δὲ οἱ Αἰτωλοὶ τοῦ χρησμοῦ γυναῖκας μὲν καὶ τὰ νήπια τέκνα τούς τε ὑπεργήρως ὑπεξέθεντο οὗ ἕκαστος ἐδύνατο, αὐτοὶ δὲ ἔμενον καραδοκοῦντες τὸ ἀποβησόμενον. καὶ συνέβη τῷ ἑξῆς ἔτει Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι συστῆναι πόλεμον καὶ φθορὰν πολλὴν ἑκατέρων γενέσθαι.

III. Ἱστορεῖ δὲ καὶ Ἀντισθένης ὁ περιπατητικὸς φιλόσοφος, Ἀκείλιον Γλαβρίωνα τὸν ὕπατον μετὰ πρεσβευτῶν Πορκίου Κάτωνος καὶ Λουκίου Οὐαλερίου Φλάκκου παραταξάμενον Ἀντιόχῳ ἐν Θερμοπύλαις γενναίως τε ἀγωνισάμενον βιάσασθαι ῥίψαι μὲν τὰ ὅπλα τοὺς μετ' Ἀντιόχου, αὐτὸν δὲ τὰ μὲν πρῶτα εἰς Ἐλάτειαν μετὰ πεντακοσίων ὑπασπιστῶν φυγεῖν, ἐκεῖθεν δὲ πάλιν εἰς Ἔφεσον ἀναγκάσαι ὑπεξελθεῖν. ὁ δὲ Ἀκείλιος Κάτωνα μὲν εἰς Ῥώμην ἀπέστειλεν ἀπαγγελοῦντα τὴν νίκην, αὐτὸς δὲ ἐπ' Αἰτωλοὺς καθ' Ἡράκλειαν ἐστράτευσεν, ἣν ἐξ εὐμαροῦς ἔλαβεν. ἐν δὲ τῇ παρατάξει τῇ γενομένῃ πρὸς Ἀντίοχον ἐν Θερμοπύλαις ἐπιφανέστατα σημεῖα ἐγένετο

2. νώνυμον Xyl. Meurs.

III. 17. ὁ deest in edd. ‖ 22. Ἐλάτειαν ex coni. Meursii coll. Liv. 36. 19, cod. et edd. Ἰταλίαν. Xyl. in vers. *in Aetoliam.*

Ῥωμαίοις. ἐπιφανέντος γὰρ Ἀντιόχου καὶ φυγόντος τῇ ἐπιούσῃ ἡμέρᾳ ἐγίνοντο οἱ Ῥωμαῖοι περὶ ἀναίρεσιν τῶν ἐκ τῆς σφετέρας δυνάμεως πεπτωκότων καὶ περὶ συλλογὴν λαφύρων τε καὶ σκύλων καὶ αἰχμαλώτων. Βούπλαγος δέ τις, τῶν ἀπὸ Συρίας ἱππάρχης, τιμώμενος παρὰ τῷ βασιλεῖ Ἀντιόχῳ, ἔπεσε καὶ αὐτὸς γενναίως ἀγωνισάμενος. ἀναιρουμένων δὲ τῶν Ῥωμαίων πάντα τὰ σκῦλα καὶ μεσούσης τῆς ἡμέρας ἀνέστη ὁ Βούπλαγος ἐκ τῶν νεκρῶν, ἔχων τραύματα δέκα δύο, καὶ παραγενόμενος εἰς τὸ στρατόπεδον αὐτῶν ἀνεῖπε λεπτῇ τῇ φωνῇ τούσδε τοὺς στίχους·

παῦσαι σκυλεύων στρατὸν ἄϊδος εἰς χθόνα βάντα·
ἤδη γὰρ Κρονίδης νεμεσᾷ Ζεὺς μέρμερα λεύσσων,
μηνίει δὲ φόνῳ στρατιᾶς καὶ σοῖσιν ἐπ' ἔργοις,
καὶ πέμψει φῦλον θρασυκάρδιον εἰς χθόνα τὴν σήν,
οἵ σ' ἀρχῆς παύσουσιν, ἀμείψῃ δ' οἷά γ' ἔρεξας.

ταραχθέντες δὲ οἱ στρατηγοὶ ἐπὶ τοῖς ῥηθεῖσιν διὰ ταχέων συνήγαγον τὸ πλῆθος εἰς ἐκκλησίαν καὶ ἐβουλεύοντο περὶ τοῦ γεγονότος φάσματος. ἔδοξεν οὖν τὸν μὲν Βούπλαγον παραχρῆμα μετὰ τὰ λεχθέντα ἔπη ἀποπνεύσαντα κατακαύσαντας θάψαι, καθαρμὸν δὲ ποιήσαντας τοῦ στρατοπέδου θῦσαι Διὶ Ἀποτροπαίῳ καὶ πέμψαι εἰς Δελφοὺς ἐρωτήσοντας τὸν θεόν, τί χρὴ ποιεῖν. παραγενομένων δὲ Πυθῶδε τῶν θεωρῶν καὶ πυνθανομένων, τί ποιητέον, ἀνεῖπεν ἡ Πυθία τόνδε τὸν χρησμόν·

ἴσχεο νῦν, Ῥωμαῖε, δίκη δέ τοι ἔμμονος ἔστω,
μή σοι ἐφορμήσῃ Παλλὰς πολὺ φέρτερον Ἄρη,
χηρώσῃ δ' ἀγοράς· σὺ δέ, νήπιε, πολλὰ μογήσας
ἴξεαι ἐς χώρην τὴν σὴν πολὺν ὄλβον ὀλέσας.

10. *τῇ* om. Xyl. Meurs. ‖ 14. *μηνείει* cod., *μηνύει* Xyl.

ἀκούσαντες οὖν τοῦ λόγου τούτου τὸ μὲν ἐπιστρατεῦσαι ἐπί τινα τῶν ἐν τῇ Εὐρώπῃ κατοικούντων ἀπέγνωσαν τὸ παράπαν, ἀναζεύξαντες δὲ ἀπὸ τοῦ προειρημένου τόπου παρεγένοντο ἐπὶ Ναύπακτον τῆς Αἰτωλίας, οὗ ἐστιν ἱερὸν κοινὸν τῶν Ἑλλήνων, εὐτρεπίζοντες θυσίας δημοτελεῖς, ἀπαρχάς τε ἐξ ἔθους. τούτων δὲ ἐπιτελουμένων ὁ στρατηγὸς Πόπλιος ἐμμανὴς γενόμενος καὶ παράφρων ἀποφθέγγεται πολλά τινα ἐνθουσιωδῶς, τὰ μὲν ἐν μέτρῳ, ἐστὶν δ᾽ ἃ καὶ καταλογάδην. διαγγελθέντος δὲ τῷ πλήθει τοῦ πράγματος συνέθεον πάντες πρὸς τὴν σκηνὴν τοῦ Ποπλίου, ἅμα μὲν ὑπαγωνιῶντες καὶ ἐκπεπληγμένοι ἐπὶ τῷ τὸν κράτιστον αὐτῶν καὶ δυνάμενον ἀφηγεῖσθαι μετ᾽ ἐμπειρίας ἠτυχηκέναι, ἅμα δὲ ἀκούειν βουλόμενοι τὰ λεγόμενα, ὥστε τινὰς αὐτῶν πιεσθέντας βιαιότερον ἀποπνιγῆναι. τὰ μὲν οὖν ἐν μέτρῳ ῥηθέντα ὑπ᾽ αὐτοῦ, ἔτι ὄντων ἐν τῇ σκηνῇ, ἐστὶν τάδε·

ὦ πατρίς, οἷόν σοι λυγρὸν φέρει Ἄρη Ἀθήνη,
ἡνίκα πορθήσασ᾽ Ἀσίην πολύολβον ἵκηαι
Ἰταλίην ἐς γαῖαν, ἐϋστεφάνους τε πόληας,
Θρινακίην νῆσον πολυήρατον, ἣν κτίσατο Ζεύς.
ἥξει γὰρ στρατιὴ πολυφέρτατος, ὀβριμόθυμος,
τηλόθεν ἐξ Ἀσίης, ὅθεν ἡλίου ἀντολαί εἰσιν,
καὶ βασιλεὺς διαβὰς στεινὸν πόρον Ἑλλησπόντου
ὅρκια πιστὰ ταμεῖ πρὸς κοίρανον Ἠπειρώτην,
ἄξει δ᾽ εἰς Ἀσίην στρατιὴν ἀνάριθμον ἀγείρας
πάντοθεν ἔκ τ᾽ Ἀσίης ἠδ᾽ Εὐρώπης ἐρατεινῆς,
καί σε δαμᾷ, χήρους δ᾽ οἴκους καὶ τείχεα θήσει,
δουλοσύνην δ᾽ ἐπὶ πᾶσιν ἐλεύθερον ἦμαρ ἀπούρας
τεύξει μήνιδος οὕνεκ᾽ Ἀθηναίης μεγαθύμου.

4. οὗ] ὃ vulg. || 26. Ἀσίην] immo Ῥώμην.

ἀνειπὼν δὲ τοὺς στίχους τούτους ὥρμησεν ἐκ τῆς σκηνῆς ἐν χιτῶνι καὶ ἀπεφθέγγετο καταλογάδην τάδε· »μηνύομεν, ὦ ἄνδρες στρατιῶται καὶ πολῖται, διαβάντας ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν νικῆσαι ὑμᾶς τὸν βασιλέα Ἀντίοχον ναυμαχήσαντάς τε καὶ πεζῇ παραταξαμένους, κυριεῦσαι δὲ τῆς ἐπίταδε τοῦ Ταύρου χώρας πάσης καὶ τῶν πόλεων τῶν ἐκτισμένων ἐν αὐτῇ, ἐκβαλόντας τὸν Ἀντίοχον εἰς Συρίαν, ταύτην δὲ παραδοθῆναι καὶ τὰς πόλεις τοῖς Ἀττάλου υἱοῖς, Γαλάτας δὲ τοὺς κατοικοῦντας ἐν τῇ Ἀσίᾳ παραταξαμένους πρὸς ὑμᾶς ἡσσηθῆναι, τῶν δὲ γυναικῶν καὶ τέκνων καὶ τῆς ἀποσκευῆς πάσης κυριεῦσαι ὑμᾶς καὶ ἀγαγεῖν εἰς τὴν Εὐρώπην, τοὺς δὲ κατοικοῦντας ἐν τῇ Εὐρώπῃ τὴν παραλίαν Θρᾶκας τῆς τε Προποντίδος καὶ Ἑλλησπόντου ἀναλύουσιν ὑμῖν ἀπὸ τῆς στρατείας ἐπίθεσιν ποιήσασθαι περὶ τὴν τῶν Αἰνιάνων χώραν καί τινας διαφθείραντας ἀφελέσθαι μέρος τι τῆς προνομῆς, διασωθέντων δὲ τῶν ἄλλων καὶ κομισθέντων εἰς Ῥώμην ἔσεσθαι συνθήκας πρὸς βασιλέα Ἀντίοχον, ἐφ' ᾧ χρήματα μὲν εἰσοίσει καὶ χώρας τινὸς ἀποστήσεται.« ἀναγορεύσας δὲ ταῦτα ἀνεκεκράγει μεγάλῃ τῇ φωνῇ λέγων τάδε· »ἐκ τῆς Ἀσίας ὁρῶ διαβαινούσας δυνάμεις χαλκοστέρνους καὶ βασιλέας ἐπὶ τὸ αὐτὸ συναγομένους καὶ ἔθνη παντοδαπὰ ἐπὶ τὴν Εὐρώπην, ἵππων τε κτύπον δοράτων τε ψόφον καὶ φόνον αἱματόφυρτον λεηλασίαν τε δεινὴν πτώσεις τε πύργων καὶ τειχῶν κατασκαφὰς ἐρημίαν τε χθονὸς ἀμυθήτου.« ταῦτα δὲ εἰπὼν ἔλεξεν αὖθις ἐν ἔπεσι τάδε·

ἡνίκα Νισαῖοι χρυσάμπυκες ἀργέται ἵπποι
βῶσιν ἐπὶ χθόνα δῖαν, ἐὴν προλιπόντες ἐφέδρην,

3. *μηνύωμεν* Xyl. ‖ 4. *ἐκ*] *ἐπὶ* vulg. ‖ 17. *διασωθέντων* corr. Xyl. qui et coni. *δημωθέντων*. ‖ 28. *Νησαῖαι* cod., *Νισαῖαι* edd.

οὓς ποτ' ἐν ἄστει τεῦξε Συρηκοσίων πολυόλβων
Δαίδαλος Ἠετίων, φιλίαν πολυήρατον αὔξων,
δαῖτ' ἐπὶ χαλκείῃ, δεσμοῖς δ' ἐπὶ δεσμὸν ἴαλλεν,
χρύσεον ἐν δ' αὐτὸν πᾶσιν Ὑπερίονος υἱὸν
ἥρμοσεν ἀκτίνεσσι καὶ ὄμμασι μαρμαίροντα·
καὶ τότε σοί, Ῥώμη, χαλεπ' ἄλγεα πάντα τελεῖται.
ἥξει γὰρ στρατὸς εὐρύς, ὃς οὐ χθόνα πᾶσαν ὀλέσσει,
χηρώσει δ' ἀγοράς, ἄστη δέ τε πυρπόλα θήσει,
αἵματι δὲ πλήσει ποταμούς, πλήσει δὲ καὶ ᾅδην,
δουλοσύνην τ' οἰκτρὴν, στυγερὴν, ἀτέκμαρτον ἐφέσσει.
οὐδὲ γυνὴ πόσιν ὅν γ' ὑποδέξεται ἐκ πολέμοιο
νοστήσαντ', ἀΐδης δὲ καταχθόνιος, μελανείμων,
ἕξει ἐνὶ φθιμένοισιν ὁμοῦ τέκνα μητρὸς ἀπούρας,
Ἄρης δ' ἀλλοδαποῖς περιθήσει δούλιον ἦμαρ.

ἀποφθεγξάμενος δὲ ταῦτα ἐσιώπησεν καὶ πορευθεὶς ἔξω τοῦ στρατοπέδου ἀνέβη ἐπί τινα δρῦν. ἐπακολουθήσαντος δὲ τοῦ ὄχλου προσεκαλέσατο αὐτοὺς καὶ εἶπε τάδε· »ἐμοὶ μὲν, ὦ ἄνδρες Ῥωμαῖοι καὶ οἱ λοιποὶ στρατιῶται, καθήκει τελευτήσαντι ὑπὸ λύκου πυρροῦ εὐμεγέθους καταβρωθῆναι ἐν τῇ σήμερον ἡμέρᾳ, ὑμεῖς δὲ τὰ ῥηθέντα ὑπ' ἐμοῦ γινώσκετε συμβησόμενα ὑμῖν πάντα, τεκμηρίοις χρώμενοι τῇ νῦν ἐσομένῃ ἐπιφανείᾳ τοῦ θηρίου τε καὶ τῇ ἐμῇ ἀναιρέσει, ὅτι ἀληθῆ εἴρηκα ἔκ τινος θείας ὑποδείξεως.« τοσαῦτα δὲ εἰπὼν ἐκέλευσεν αὐτοὺς ἀποστῆναι καὶ μηδένα κωλῦσαι τὸ θηρίον προσελθεῖν, φάσκων, ἐὰν ἀποστρέψωσιν, οὐ συνοίσειν αὐτοῖς. ποιήσαντος δὲ τοῦ πλήθους τὸ προσταχθὲν οὐκ εἰς μακρὰν παραγίνεται ὁ λύκος. ἰδὼν δὲ αὐτὸν ὁ Πόπλιος κατέβη ἀπὸ τῆς δρυὸς καὶ ἔπεσεν ὕπτιος, ὁ δὲ λύκος

8. πυρπολαθήσει Xyl. Meurs.

ἀνασχίσας αὐτὸν κατεδαίνυτο πάντων ὁρώντων. ἀναλώσας δὲ τὸ σῶμα αὐτοῦ πλὴν τῆς κεφαλῆς ἐτράπετο εἰς τὸ ὄρος. προσελθόντος δὲ τοῦ ὄχλου καὶ βουλομένου ἀνελέσθαι τὰ ἀπολελειμμένα, κτερίσαι τε αὐτὸν νομίμως, ἡ κεφαλὴ κειμένη ἐπὶ τῆς γῆς ἀνεῖπε τοὺς στίχους τούτους·

μὴ ψαῦ' ἡμετέρης κεφαλῆς· οὐ γὰρ θέμις ἐστίν,
οἷσιν Ἀθηναίη χόλον ἄγριον ἐν φρεσὶ θῆκεν,
ἅπτεσθαι θείοιο καρήατος· ἀλλὰ πέπαυσο,
μαντοσύνην τ' ἐπάκουσον, ἀληθέα ἥπερ ἐρεῖ σοι.
ἥξει γὰρ χθόνα τήνδε πολὺς καὶ καρτερὸς Ἄρης,
ὃς λαὸν μὲν ἔνοπλον ὑπὸ σκότον ἄϊδι πέμψει,
ῥήξει δ' αὖ λιθίνους πύργους καὶ τείχεα μακρά,
ὄλβον δ' ἡμέτερον καὶ νήπια τέκν' ἀλόχους τε
μάρψας εἰς Ἀσίην ἄξει διὰ κῦμα περήσας.
ταῦτά σοι εἴρηκεν νημερτέα Φοῖβος Ἀπόλλων
Πύθιος, ὅς μοι ἑὸν κρατερὸν θεράποντ' ἐπιπέμψας
ἤγαγεν εἰς μακάρων τε δόμους καὶ Περσεφονείης.

ἀκούσαντες δὲ τῶν ἐπῶν τούτων οὐ μετρίως ἐταράχθησαν, ἱδρυσάμενοί τε ναὸν Ἀπόλλωνος Λυκίου καὶ βωμόν, οὗπερ ἔκειτο ἡ κεφαλή, ἐνέβησαν εἰς τὰς ναῦς καὶ ἀπέπλεον ἕκαστος ἐπὶ τὰς ἑαυτῶν πατρίδας. καὶ συνέβη ἅπαντα τὰ ὑπὸ τοῦ Ποπλίου ῥηθέντα γενέσθαι.

IV. *Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλείταρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε. Τειρεσίαν τὸν Εὐήρους ἐν Ἀρκαδίᾳ ἄνδρα ὄντα ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον καὶ παραχρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα καὶ μιχθῆναι ἀνδρί. τοῦ*

IV. 25. *Κλίταρχος* Xyl. Meurs. ‖ 26. *Εὐήρους* ex em. Meursii, vulg. *Εὐμάρους*.

δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας ὁμοίως τρώσῃ τὸν ἕνα ἔσται οἷος ἦν, παραφυλάξαντα τὸν Τειρεσίαν ποιῆσαι τὰ ὑπὸ τοῦ θεοῦ ῥηθέντα καὶ οὕτως κομίσασθαι τὴν ἀρχαίαν φύσιν. Διὸς δὲ ἐρίσαντος Ἥρᾳ καὶ φαμένου, ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῆς τῶν ἀφροδισίων ἡδονῆς, καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις ἔρεσθαι τὸν Τειρεσίαν διὰ τὸ τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι. τὸν δὲ ἐρωτώμενον ἀποφήνασθαι, διότι μοιρῶν οὐσῶν δέκα τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ γυναῖκα τὰς ἐννέα. τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ ποιῆσαι τυφλόν, τὸν δὲ Δία δωρήσασθαι αὐτῷ τὴν μαντικήν, καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά.

V. Οἱ αὐτοὶ ἱστοροῦσι, κατὰ τὴν Λαπίθων χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα, ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαι αὐτὴν εἰς ἄνδρα, ποιῆσαί τε ἄτρωτον. τοῦ δε Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα.

VI. Καὶ ἐν Ἀντιοχείᾳ δὲ τῇ πρὸς Μαιάνδρῳ ποταμῷ ἐγένετο ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἀντιπάτρου, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Βινικίου καὶ Τίτου Στατιλίου Ταύρου, τοῦ Κουρβίνου ἐπικληθέντος. παρθένος γὰρ γονέων ἐπισήμων τρισκαιδεκαέτης ὑπάρχουσα

10. οὐσῶν om. Franz.

V. 17. μιγνύντα Franz.

VI. 23. in fast. cons. capitol. s. a. u. 797. p. Chr. n. 45. *M. Vinucius P. f. M. n. II. Taurus Statilius Corvinus* coss. appellantur: hinc Meurs. 24. corr. Κορβίνου. cod. Κουρβιλίου (ν supra λ) i. e. Κουρβίνου. edd. Κουρβιλίου.

ὑπὸ πολλῶν ἐμνηστεύετο, οὖσα εὐπρεπής. ὡς δ' ἐνεγγυήθη ᾧ οἱ γονεῖς ἐβούλοντο, ἐνστάσης τῆς ἡμέρας τοῦ γάμου προϊέναι τοῦ οἴκου μέλλουσα αἰφνιδίως πόνου ἐμπεσόντος αὐτῇ σφοδροτάτου ἐξεβόησεν· ἀναλαβόντες δὲ αὐτὴν οἱ προσήκοντες ἐθεράπευον, ὡς ἀλγήματα ἐχούσαν κοιλίας καὶ στρόφους τῶν ἐντός· τῆς δὲ ἀλγηδόνος ἐπιμενούσης τρισὶν ἡμέραις ἑξῆς, ἀπορίαν τε πᾶσι τοῦ πάθους ποιοῦντος, τῶν πόνων οὔτε νυκτὸς οὔτε ἡμέρας ἔνδοσιν λαμβανόντων, καί τοι πᾶσαν μὲν θεραπεῖαν αὐτῇ προσφερόντων τῶν ἐν τῇ πόλει ἰατρῶν, μηδεμίαν δὲ τοῦ πάθους δυναμένων αἰτίαν εὑρεῖν, τῇ τετάρτῃ τῶν ἡμερῶν περὶ τὸν ὄρθρον μείζονα τῶν πόνων ἐπίδοσιν λαμβανόντων, σὺν μεγάλῃ οἰμωγῇ ἀνακραγούσης, ἄφνω αὐτῇ ἀρσενικὰ μόρια προέπεσεν, καὶ ἡ κόρη ἀνὴρ ἐγένετο. μετὰ δὲ χρόνον εἰς Ῥώμην ἀνηνέχθη πρὸς Κλαύδιον Καίσαρα, ὁ δὲ τούτου ἕνεκα τοῦ σημείου ἐν Καπετωλίῳ Διὶ Ἀλεξικάκῳ ἱδρύσατο βωμόν.

VII. Ἐγένετο καὶ ἐν Μηουανίᾳ, πόλει τῆς Ἰταλίας, ἐν Ἀγριππίνης τῆς Σεβαστῆς ἐπαύλει ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησι Διονυσοδώρου, ὑπατευόντων ἐν Ῥώμῃ Δέκμου Ἰουνίου Σιλανοῦ Τορκουάτου καὶ Κοΐντου Ἀτερίου Ἀντωνίνου. Φιλωτὶς γάρ τις ὀνόματι παρθένος, Σμυρναία τὸ γένος, ὡραία πρὸς γάμον ὑπὸ τῶν γονέων κατεγγεγυημένη ἀνδρί, μορίων αὐτῇ προφανέντων ἀρρενικῶν ἀνὴρ ἐγένετο.

VIII. Καὶ ἄλλος δέ τις ἀνδρόγυνος κατὰ τοὺς αὐτοὺς χρόνους ἐγένετο ἐν Ἐπιδαύρῳ, γονέων ἀπόρων

1. δὲ Franz. ‖ 9. πᾶσιν Meurs. ‖ 10. τῶν om. vulg.

VII. 18. *Μηουνίᾳ* Xyl. ‖ 20. *Δεκίου* corr. Meurs. ‖ 21. in fast. cons. cap. s. a. 805. 53. *D. Junius Silanus. Q. Haterius Antoninus*, inde *Ἀτερίου* corr. Meurs., vulg. *Ἀστερίου*.

παῖς, ὃς ἐκαλεῖτο πρότερον Συμφέρουσα, ἀνὴρ δὲ γενόμενος ὠνομάζετο Συμφέρων, κηπουρῶν δὲ τὸν βίον διῆγεν.

IX. *Καὶ ἐς Λαοδίκειαν δὲ τῆς Συρίας γυνή, ὀνόματι Αἰτητή, συνοικοῦσα τῷ ἀνδρὶ ἔτι μετέβαλε τὴν μορφὴν καὶ μετωνομάσθη Αἰτητὸς ἀνὴρ γενόμενος, ἄρχοντος Ἀθήνησι Μακρίνου, ὑπατευόντων ἐν Ῥώμῃ Λουκίου Λαμία καὶ Αἰλιανοῦ Οὐέτερος. τοῦτον καὶ αὐτὸς ἐθεασάμην.*

X. *Ἐγεννήθη καὶ ἐπὶ Ῥώμης ἀνδρόγυνος, ἄρχοντος Ἀθήνησιν Ἰάσονος, ὑπατευόντων ἐν Ῥώμῃ Μάρκου Πλαυτίου καὶ Σέξτου Καρμινίου, ** Ὑψαίου καὶ Μάρκου Φουλβίου Φλάκκου· δι' ἣν αἰτίαν ἡ σύγκλητος ἐκέλευσεν τοὺς ἱερομνήμονας ἀναγνῶναι τοὺς Σιβύλλης χρησμούς, καὶ ἐξηγήσαντο τοὺς χρησμούς. εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·*

ὅσσα τέρα καὶ ὅσσα παθήματα δαίμονος αἴσης
ἱστὸς ἐμὸς λύσει, τάδ' ἐνὶ φρεσὶν αἴκε νοήσῃς,
Ῥώμῃ ἐῇ πίσυνος· καί τοί ποτε φημὶ γυναῖκα

IX. 7. in fast. cons. cap. s. a. 868. 116. *Aemilius Aelianus. L. Antistius Vetus.* corr. Meurs. *Λουκίου Αἰμιλίου Αἰλιανοῦ καὶ Οὐέτερος.* f. *Αἰμιλίου Αἰλιανοῦ καὶ Λουκίου Οὐέτερος.*

X. 12. recte Meursius intellexit duas historias diversas in unam coaluisse. scribi vult *Μάρκου Πλαυτίου καὶ Σεντίου Αὐγουρίνου* ex fast. cons. s. a. 909. 157. sed ibi legitur *M. Ceionius Silvanus. C. Serius Augurinus.* f. pertinent haec ad a. 751. 2, ubi in fast. *M. Plautius M. f. A. n. Silvanus. L. Caninius Gallus,* ut scribendum sit *Μάρκου Πλαυτίου καὶ Λουκίου Κανινίου.* deinde excidit praeter alia nomen archontis attici et consulis praenomen atque nomen *Μάρκου Πλαυτίου.* namque in fast. ad a. 628. 125. *M. Plautius Hypsaeus. M. Fulvius M. f. Q. n. Flaccus.* *Ὑψαίου* restituit Meurs., vulg. *Μάρκου Πλατίου καὶ Σέξτου Καρμινίου, Υἱαίου, καὶ M. Φ. Φ.* ‖ 13. *ἐκέλευεν* edd. ‖ 15. *ἐξηγήσαντο* (*ιλα* supra *ηγη*) cod. ‖ 17. Totum carmen tutius visum est intactum relinquere. ‖ *τερᾶ* cod. ‖ 19. *ἐῇ* Xyl., *ἐμοὶ* Meurs.

ἀνδρόγυνον τέξεσθαι ἔχοντά περ ἄρσενα πάντα,
νηπιαχαί θ' ὅσα θηλύτεραι φαίνουσι γυναῖκες.
οὐκ ἔτι δὴ κρύψω, θυσίας δέ τοι ἐξαγορεύσω
προφρονέως Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ.
ἴστω δ' αὐτὴ ἄνασσα θεά, τὰ μὲν εἶχε πίθηαι,
σεμνοτάτῃ Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ.
θησαυρὸν μὲν πρῶτα νομίσματος εἰς ἓν ἀθροίσας,
ὅττι θέλεις ἀπὸ παμφύλων πόλεών τε καὶ αὐτῶν,
μητρὶ Κόρης Δήμητρι κέλευ θυσίαν προτίθεσθαι.
αὐτὰρ δημοσίᾳ κέλομαί σε τρὶς ἐννέα ταύρους
φανὰς ἠϋκέρους θυέμεν λευκότριχας, αἴ κεν
ὑμετέρᾳ γνώμῃ κάλλει προφερέσταται ὦσιν.
παῖδας, ὅσας πάρος εἶπα, κέλευ Ἀχαϊστὶ τάδ' ἔρδειν
ἀθανάτην βασίλισσαν ἐπευχομένην θυέεσσιν
σεμνῶς καὶ καθαρῶς· τότε δὴ μετέπειτα δεχέσθω
ἔμπεδ' ἀφ' ὑμετέρων ἀλόχων ἱερ', αὐτὰρ ἐπ' αὐτοῖς
ἱστῷ ἐμῷ πίσυνοι λαμπρὸν φάος αἵδε φερόντων
σεμνοτάτῃ Δήμητρι τὸ δεύτερον, αὐταὶ λαβοῦσαι
τρὶς τόσα νήφαλα πάντα πυρὸς μαλεροῖο τιθέντων,
ὅσσαι ἐπισταμένως θυσίαν γραῖαι προτίθενται.
προφρονέως δ' ἄλλαι Πλουτωνίδι τόσσα λαβοῦσαι,
ὅσσαι ἐν ἡλικίῃ νεοθαλέα θυμὸν ἔχουσιν
νηπίαχοι, σεμνὴν Πλουτωνίδα παντοδίδακτον
ἐν πάτρᾳ εὐχέσθων μίμνειν πολέμου κρατέοντος,
λήθην Ἑλλήνεσσι πεσεῖν πόλεώς τε καὶ αὐτῆς.
θησαυρὸν δ' ἕτεροι καὶ παρθένοι ἔνθα φερόντων,
ἱστῷ θειοπαγεῖ νυμφάσματα ποικίλα σεμνήν,
Πλούτωνι κοσμεῖτο ὅπως σχεσίῃσι κακοῖσι.
προφρονέως δ' ὅτι κάλλιστον καὶ εὐκτὸν ἐπ' αἶαν

5. πιθῆσαι Meurs. || 14. f. ἐπευχομένας. || 18. αὐτὰ corr. Xyl., f. r. δ. αὐταί. || 26. ἑταροὶ corr. Xyl. || 28. σχέσις ᾖσι corr. Xyl.

ὡς θνητοῖσιν ἰδέσθαι ἐπέπλετο, καὶ τὸ φέρεσθαι
ἱστῷ σύμμικτον δῶρον βασιληίδι κούρῃ·
αὐτὰρ ὅτ' ἂν Δήμητρι καὶ ἁγνῇ Περσεφονείῃ·
γαίας ὑμετέρας ἀπερυκέμεναι ζυγὸν αἰεί,
Αἰδώνῃ Πλούτωνι βοὸς κυανότριχος αἷμα,
λαμπροῖς εἵμασι κοσμητοὺς μετὰ ποιμένος, ὅστις
ἠματίῳ πίσυνος βοὸς ἄρτεμος αὐτὸς ὁ δ' ἔσται
ὅσσοι τ' ἄλλοι ὁμοῦ πίσυνοι κατὰ πατρίδ' ἔασι·
μὴ γὰρ ἀπιστόφιλος θυσίαισιν ἀνὴρ παρεπέσθω·
ἔξω δ' ἔνθ' ἀνόμιστον ἐπέπλετο φωτὶ τάδ' ἔρδειν,
νούπιστοι καταδαιτὸν ἔχειν θυσίαν, κατὰ δ' αὐτὴν
ὅστις ἂν ἡμετέρων χρησμῶν ἴδρις ἐς τόδ' ἵκηται,
σεμνὸν Φοῖβον ἄνακτα μετελθέτω ἐν θυσίαισι,
προφρονέως βωμοῖς ἐπὶ πίονα μηρία καύσας,
αἰγῶν παλλεύκων νεάτην· ἀτὰρ οἴδατε πάντες,
λισσέσθω Φοῖβον παιήονα κρᾶτα πυκάσσας,
ἱκτῆρες πίπτοντες ὅπως λυσίης ἀκάκοιο,
νοστήσας δ' ἀπὸ τοῦ βασιληίδα πότνιαν Ἥρην·
ἀργὴν βοῦν θύων πατρίοισι νόμοισι κατ' αἶσαν,
ὑμνεῖν αἴκε γένει προφερέστεραι ωσενι λαοῖς,
καὶ νήσων ναέται τὴν ἀντιπάλων ὅτ' ἂν αἶαν·
οὐ δόλῳ, ἀλλὰ βίᾳ Κυμαΐδα πρόφρονες αὗται,
νάσσωνται σεμνῆς βασιληίδος οἷς ἐτίθενται,
ἐν πατρίοισι νόμοις Ἥρας ξόανόν τε κατ' οἶκον,
ἴξει δ' ἂν μύθοισιν ἐμοῖς τάδε πάντα τίθηνται,
σεμνοτάτην βασίλισσαν ἐπέλθῃς ἐν θυσίαισιν·
ἐν πολλῷ χρόνῳ αὖ τότ' ἐφ' ὕστερον ὅς κεν ἐπ' αὐτοῖς,

6. ἱμάσι Meurs. ‖ 10. ἔνθα νομιστὸν corr. Xyl. ‖ ἔρδειν id. ‖ 20. αἴκε corr. Xyl. ‖ ωσενι λαοῖς cod., ὡς ἐνὶ Xyl. Meurs., ὧσ' coni. Xyl., sed voluit ὧσ', uti Bast. ‖ 24. πατρίοισιν ἐμοῖς edd. ‖ 27. τόθ' Xyl.

νήφαλά κεν ῥέξας ὅσαι ἡμέραι εἰς ἐνιαυτόν.
ὅς κε τάδε ῥέξει, κείνου κράτος ἔσσεται αἰεί.
νηφαλίμων ἀρνῶν τε τιμῶν χθονίοις τάδε ῥέξον,
ἦμος ἂν ἤδη ἔχοις μεγαλήτην οὐκ ἀπάντη
ξεστοδόταν ξοάνῃσιν καὶ τἆλλ᾽ ὅς ἐλεξασαφι,
ἐν πετάλοισιν ἐμοῖς ὑπὸ κερκίδος ἀμφὶ καλύπτρας
ἵμερτός σε βάλεν γλαυκῆς ἐλάας πολυκάρπου,
ἀγλαὰ φῦλλα λαβοῦσα λύσιν κακοῦ ἦμος ἂν ἔλθῃ,
ὕμμι χρόνος μάλα κεῖνος ἐν ᾧ ποτε τἆλλα νεόγνη·
τρωσδητε καύσει σε κακῶν, ἅμα δ᾽ Ἑλλάδος ἐκ γῆς·
αὐτὰρ σοῦ μεταβᾶσαν ἐποτρύνεις ἀγορεῦσαι.

XI. *Ἐν δὲ Μεσσήνῃ οὐ πρὸ πολλῶν ἐτῶν, ὥς φησιν Ἀπολλώνιος, συνέβη πίθον λίθῳ πεποιημένον ῥαγῆναι χειμώνων βίᾳ καὶ ὕδατος πολλοῦ ἐπενεχθέντος, προχυθῆναι δὲ αὐτοῦ κεφαλὴν τριπλασίαν τῆς ἀνθρωπίνης· τοὺς δὲ ὀδόντας ἔχειν διστοίχους, ἀναζητούντων δὲ τίνος εἴη ἡ κεφαλή, δηλῶσαι τὴν ἐπιγραφήν· »Ἴδεω« γὰρ ἐγκεχάρακτο. ἕτερον οὖν δημοσίᾳ κατασκευάσαντες πίθον ἐνέθεσαν καὶ ἀσφαλέστερον ἐκήδευσαν τὸν ἥρωα οἱ Μεσσήνιοι, τοῦτον ἰδόντες ὄντα, περὶ οὗ φησιν Ὅμηρος·*

Ἴδεω θ᾽ ὃς κάρτιστος ἐπιχθονίων γένετ᾽ ἀνδρῶν,
τῶν τότε· καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον
Φοίβου Ἀπόλλωνος, καλλισφύρου εἵνεκα νύμφης.

XII. *Ἐν Δαλματίᾳ τε ἐν τῷ τῆς Ἀρτέμιδος καλουμένῳ σπηλαίῳ ἔστιν ἰδεῖν πολλὰ σώματα, ὧν τὰ τῆς πλευρᾶς ὀστᾶ ὑπερβάλλει ἑκκαίδεκα πήχεις.*

XIII. *Ἀπολλώνιος δὲ ὁ γραμματικὸς ἱστορεῖ, ἐπὶ*

10. καύσει corr. Franz.
XI. 13. λίθῳ cod., λίθου edd. || 21. Iliad. 9, 558.
XII. 25. τε τῷ Meurs.

Τιβερίου Νέρωνος σεισμὸν γεγενῆσθαι καὶ πολλὰς καὶ ὀνομαστὰς πόλεις τῆς Ἀσίας ἄρδην ἀφανισθῆναι, ἃς ὕστερον ὁ Τιβέριος οἰκείᾳ δαπάνῃ πάλιν ἀνώρθωσεν. ἀνθ' ὧν κολοσσόν τε αὐτῷ κατασκευάσαντες ἀνέθεσαν παρὰ τῷ τῆς Ἀφροδίτης ἱερῷ, ὅ ἐστιν ἐν τῇ Ῥωμαίων ἀγορᾷ, καὶ τῶν πόλεων ἑκάστης ἐφεξῆς ἀνδριάντας παρέστησαν.

XIV. *Ἔπαθον δὲ καὶ τῆς Σικελίας ὑπὸ τοῦ σεισμοῦ οὐκ ὀλίγαι πόλεις καὶ τὰ πλησίον Ῥηγίου. ἐσείσθη δὲ οὐκ ὀλίγα καὶ τῶν ἐν Πόντῳ ἐθνῶν. κατὰ δὴ τῆς γῆς τὰς διαστάσεις ἐφάνη σωμάτων μεγέθη, ἃ ἐκπλαγέντες οἱ ἐπιχώριοι κινῆσαι μὲν ὤκνησαν, δείγματος δ' ἕνεκεν ἔπεμψαν εἰς τὴν Ῥώμην ὀδόντα ἑνός, οὐ ποδιαῖον μόνον, ἀλλ' ὑπερβάλλοντα καὶ τοῦτο τὸ μέτρον. ἐπιδείξαντες δὲ Τιβερίῳ οἱ πρέσβεις εἴροντο, εἰ βούλεται κομισθῆναι τὸν ἥρω πρὸς αὐτόν. ὁ δὲ πρὸς ταῦτα ἐμφρόνως ἐβουλεύσατο, μήτε τῆς γνώσεως τοῦ μεγέθους ἑαυτὸν ἀποστερήσας, τό τε ἀνόσιον τῆς νεκροσυλίας παραιτησάμενος. γεωμέτρην γάρ τινα τῶν οὐκ ἀφανῶν, Ποῦλχρον ὀνόματι, τιμώμενον ὑπ' αὐτοῦ διὰ τὴν τέχνην, καλέσας πρόσωπον ἐκέλευσε πλάσαι πρὸς τὸ μέγεθος τοῦ ὀδόντος. ὁ δὲ σταθμησάμενος, ἡλίκον ἂν γένοιτο τό τε σύμπαν σῶμα καὶ τὸ πρόσωπον αὐτοῦ τῷ τοῦ ὀδόντος ὄγκῳ, ἐργασάμενος διὰ ταχέων ἐκόμισε τῷ αὐτοκράτορι. κἀκεῖνος εἰπών, ἀρκεῖσθαι τῇ θέᾳ ταύτῃ, ἀποπέμπει τὸν ὀδόντα ἐκεῖσε ὅθεν καὶ ἐκομίσθη.*

XV. *Οὐ χρὴ δὲ ἀπιστεῖν τῷ εἰρημένῳ, ἐπεὶ καὶ τῆς Αἰγύπτου Λίτραι εἰσὶν τόπος, ἐν αἷς δείκνυται σώ-*

XIII. 5. ὃς Xyl.
XIV. 8. ὑπό, quod est in cod., om. Xyl. Meurs. ‖ 10. δή Xyl., δὲ Meurs. ‖ 15. βούληται Meurs.

ματα οὐκ ἐλάττω τούτων, οὐ κεκρυμμένα γῇ, ἀλλ' ἐμφανῆ ἀφειμένα, οὔτε συγκέχυται οὔτε συμπεφόρηται, ἀλλ' ἐν τάξει κεῖται, ὡς γνωρίσαι προσελθόντα τοῦτο μὲν μηρῶν ὀστᾶ, τοῦτο δὲ κνημῶν καὶ τῶν ἄλλων μελῶν. διὸ οὐ χρὴ οὐδὲ τούτοις ἀπιστεῖν, ἐννοουμένους, ὅτι κατ' ἀρχὰς μὲν ἡ φύσις ἀκμάζουσα ἅπαντα ἐγγὺς θεῶν ἐκουροτρόφει, μαραινομένου δὲ τοῦ χρόνου συμμεμάρανται καὶ τὰ μεγέθη τῶν φύσεων.

XVI. *Καὶ τὰ ἐν τῇ Ῥόδῳ δὲ παρειλήφαμεν ὀστᾶ τηλικαῦτα τὸ μέγεθος, ὡς παραβαλλομένους τοὺς νῦν ἀνθρώπους πολὺ καταδεεστέρους εἶναι.*

XVII. *Ὁ δὲ αὐτός φησιν, πλησίον Ἀθηνῶν νῆσόν τινα εἶναι, ταύτην δὴ τοὺς Ἀθηναίους βούλεσθαι τειχίσαι· σκάπτοντας οὖν τοὺς θεμελίους τῶν τοίχων εὑρεῖν σορὸν ἑκατὸν πηχῶν, ἐν ᾗ εἶναι σκελετὸν ἴσον τῇ σορῷ, ἐφ' ἧς ἐπιγέγραπται τάδε·*

τέθαμμ' ὁ Μακρόσειρις ἐν νήσῳ μακρᾷ,
ἔτη βιώσας πεντάκις τὰ χίλια.

XVIII. *Εὔμαχος δέ φησιν ἐν περιηγήσει, Καρχηδονίους περιταφρεύοντας τὴν ἰδίαν ἐπαρχίαν εὑρεῖν ὀρύσσοντας δύο σκελετοὺς ἐν σοροῖς κειμένους, ὧν τοῦ μὲν εἰκοσιτέσσαρας εἶναι πήχεις τὴν σύνθεσιν, τοῦ δὲ ἑτέρου εἰκοσιτρεῖς.*

XIX. *Θεόπομπος δέ φησιν ὁ Σινωπεὺς ἐν τῷ περὶ σεισμῶν, ἐν τῷ Κιμμερικῷ Βοσπόρῳ αἰφνιδίως σεισμοῦ γενομένου τὸν παρ' αὐτοῖς τινα ἀναρραγῆναι λόφον καὶ ἀναβαλεῖν ὀστᾶ ὑπερμεγέθη, ὥστε τὴν σύνθεσιν τοῦ*

XV. 2. *συμπεφύρηται* Meurs. || 5. *ἐννοούμενος* Fraus. || 6. *ἀκμάσουσα* Xyl.

XVII. 18. *ἔτι* Xyl.

XVIII. 20. *ἐπαρχείαν* Xyl. Meurs.

σκελετοῦ πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. ταῦτα δέ φησιν τὰ ὀστᾶ τοὺς περιοικοῦντας βαρβάρους εἰς τὴν Μαιῶτιν ῥίψαι λίμνην.

XX. *Παιδίον πρὸς Νέρωνα ἐκομίσθη τετρακέφαλον, ἀνάλογα ἔχον καὶ τὰ ἄλλα μέλη, ἄρχοντος Ἀθήνησι Θρασύλλου, ὑπατευόντων ἐν Ῥώμῃ Ποπλίου Πετρωνίου Τουρπιλιανοῦ καὶ Καισωνίου Παίτου.*

XXI. *Καὶ ἕτερον ἐγεννήθη ἐπὶ τοῦ ἀριστεροῦ ὤμου κεφαλὴν ἐκπεφυκυῖαν ἔχον.*

XXII. *Ἐγένετο σημεῖον παράδοξον ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησι Δεινοφίλου, ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐηρανίου καὶ Γναίου Πομπηίου Γάλλου. Ῥαικίου γὰρ Ταύρου, ἀνδρὸς στρατηγικοῦ, τῆς γυναικὸς θεράπαινα τῶν τετιμημένων ἀπεκύησε πίθηκον.*

XXIII. *Κορνηλίου Γαλλικανοῦ ἡ γυνὴ παιδίον ἔτεκεν, κεφαλὴν ἔχον Ἀνούβιδος ἐπὶ Ῥώμης, ἄρχοντος Ἀθήνησιν Δημοστράτου, ὑπατευόντων ἐν Ῥώμῃ Αὔλου Λικιννίου Νερούα Σιλανιανοῦ καὶ Μάρκου Οὐεστίνου Ἀττικοῦ.*

XXIV. *Γυνὴ ἀπὸ πόλεως Τριδέντου τῆς Ἰταλίας ἀπεκύησεν ὄφεις ἐσφαιρωμένους, ὑπατευόντων ἐν Ῥώμῃ*

XIX. 1. *εὑρηθῆναι* Meurs.

XX. 6. vulg. *Πετρωνίου τοῦ Σπαλιανοῦ καὶ Κεσεννίου Πίτου*, corr. Meurs. ex fast. cons. cap., ubi s. a. 813. 61. *C. Petronius Turpilianus. C. Caesonius Paetus*: idem et *Γαΐου* p. *Ποπλίου* voluit.

XXII. 12. *Οὐηραννίου* corr. Meurs., idem *Γαΐου* p. *Γναίου*. fast. cons. s. a. 801. 49. *Q. Veranius. C. Pompeius Gallus.* itaque dedi *Οὐηρανίου*, quod proxime abest a lect. cod. *οὐηρατίου*, edd. *Οὐρατίου*.

XXIII. 18. fast. cons. cap. s. a. 817. 65. *A. Licinius Nerva Silianus. M. Vestinus Atticus.* ex quo scripsi *Λικιννίου* p. vulg. *Λουκεννίου*. *Σιλανιανοῦ* mutare non ausus sum. ‖ *Οὐηστίνου* Xyl.

Δομετιανοῦ Καίσαρος τὸ ἔνατον καὶ Πετιλίου Ῥούφου τὸ δεύτερον, ἐν Ἀθήναις ἀναρχίας οὔσης.

XXV. *Ἐν Ῥώμῃ δικέφαλόν τις ἀπεκύησεν ἔμβρυον, ὃ ὑποθήκαις τῶν θυοσκόων εἰς τὸν Τίβεριν ποταμὸν ἐνεβλήθη, ἄρχοντος Ἀθήνησιν Ἀδριανοῦ τοῦ αὐτοκράτορος γενομένου, ὑπατευόντων ἐν Ῥώμῃ αὐτοκράτορος Τραϊανοῦ τὸ ἕκτον καὶ Τίτου Σεξτίου Ἀφρικανοῦ.*

XXVI. *Δωρόθεος δέ φησιν ὁ ἰατρὸς ἐν ὑπομνήμασιν, ἐν Ἀλεξανδρείᾳ τῇ κατ' Αἴγυπτον κίναιδον τεκεῖν, τὸ δὲ βρέφος ταριχευθὲν χάριν τοῦ παραδόξου φυλάττεσθαι.*

XXVII. *Ἐν Γερμανίᾳ ἐν τῷ στρατῷ τῶν Ῥωμαίων, ὃς ἦν ὑπὸ Τίτῳ Κουρτιλίῳ Μαγκίᾳ, τὸ αὐτὸ τοῦτο ἐγένετο. δοῦλος γὰρ στρατιώτου ἔτεκεν, ἄρχοντος Ἀθήνησιν Κόνωνος, ὑπατευόντων ἐν Ῥώμῃ Κοΐντου Οὐλουσίου Σατορνίνου καὶ Ποπλίου Κορνηλίου Σκιπίωνος.*

XXVIII. *Καὶ Ἀντίγονος δὲ ἱστορεῖ, ἐν Ἀλεξανδρείᾳ μίαν γυναῖκα ἐν τέτρασι τοκετοῖς εἴκοσι τεκεῖν καὶ τὰ πλεῖστα τούτων ἐκτραφῆναι.*

XXIX. *Καὶ ἑτέρα τις γυνὴ κατὰ τὴν αὐτὴν πόλιν πέντε ἐν ἑνὶ τοκετῷ ἀπεκύησεν παῖδας, τρεῖς μὲν ἄρρενας, δύο δὲ θηλείας· οὓς αὐτοκράτωρ Τραϊανὸς ἐκέλευ-*

XXIV. 1. fast. cons. s. a. 835. 83. *imp. Caesar Domitianus Augustus IX. Quintus Petillius Rufus II.*

XXV. 4. θυοσκόων Xyl., θυοσκόπων Meurs. || 7. fast. cons. s. a. 864. 112. *imp. Caesar Nerva Traianus Augustus VI. T. Sextius Africanus.*

XXVII. 16. fast. cons. cap. s. a. 808. 56. *Q. Volusius Saturninus. P. Cornelius Scipio.* XXVIII. 19. hist. mir. c. 110.

XXIX. 24. Ἀδριανὸς ex Dig. 34. 5, 8. corrigunt.

σεν ἐκ τῶν ἰδίων χρημάτων τρέφεσθαι· πάλιν δὲ μετ' ἐνιαυτὸν ἄλλα τρία ἡ αὐτὴ γυνὴ ἔτεκεν.

XXX. Ἱππόστρατος δέ φησιν ἐν τῷ περὶ Μίνω, Αἴγυπτον ἐκ μιᾶς γυναικὸς Εὐρυόπης τῆς Νείλου πεντήκοντα υἱοὺς γεννῆσαι.

XXXI. Δαναός τε ὁμοίως ἐκ μιᾶς γυναικὸς τῆς Νείλου Εὐρυόπης πεντήκοντα θυγατέρας ἔσχεν.

XXXII. Κρατερὸς δέ φησιν, ὁ Ἀντιγόνου τοῦ βασιλέως ἀδελφός, γινώσκειν τινὰ ἄνθρωπον, ὃν ἐν ἑπτὰ ἔτεσιν παῖδα γενέσθαι καὶ μειράκιον καὶ ἄνδρα καὶ γέροντα καὶ γήμαντα καὶ παιδοποιησάμενον ἀποθανεῖν.

XXXIII. Μεγασθένης δέ φησιν, τὰς ἐν Παλαίᾳ κατοικούσας γυναῖκας ἑξαετεῖς γινομένας τίκτειν.

XXXIV. Εὑρέθη ἐν Σαύνῃ, τῆς Ἀραβίας πόλει, ἱπποκένταυρος ἐπὶ ὄρους μάλα ὑψηλοῦ, ὃ ἐστιν γέμον φαρμάκου θανασίμου. καλεῖται δὲ τὸ φάρμακον ὁμώνυμον τῇ πόλει, ὀξύτατον δὲ καὶ ἀνυτικώτατον τῶν ὀλεθρίων καθέστηκεν. τὸν δὲ ἱπποκένταυρον συλλαβὼν ὁ βασιλεὺς ζωὸν ἀποπέμπει σὺν ἑτέροις δώροις πρὸς Καίσαρα εἰς τὴν Αἴγυπτον. τροφὴ δὲ ἦν αὐτοῦ κρέα. οὐ φέρων δὲ τὴν μεταβολὴν τοῦ ἀέρος τελευτᾷ, καὶ οὕτως ὁ ἔπαρχος τῆς Αἰγύπτου ταριχεύσας ἀπέστειλεν εἰς Ῥώμην. καὶ πρῶτον ἐν τοῖς βασιλείοις ἀπεδείχθη, τὸ μὲν πρόσωπον ἀγριώτερον τοῦ ἀνθρωπίνου ἔχων, χεῖρας δὲ καὶ τοὺς τούτων δακτύλους τετριχωμένους, πλευρὰ δὲ συναφῆ τοῖς πρώτοις σκέλεσι καὶ τῇ γαστρί. ὁπλαὶ δὲ ἦσαν αὐτῷ ἵππου στερεαὶ καὶ ἐπίξανθοι χαῖται, καίπερ ὑπὸ τῆς ταριχείας συμμελαινόμεναι τῷ δέρματι. μέγεθος δὲ ἦν οὐχ οἷοίπερ οἱ γραφόμενοι, οὐδ' αὖ πάλιν μικρόν.

XXXIV. 19. δώροις om. Meurs.

XXXV. *Ἐν δὲ τῇ προειρημένῃ πόλει Σαύνῃ ἐλέγοντο καὶ ἕτεροι εἶναι ἱπποκένταυροι. τὸν δὲ πεμφθέντα εἰς Ῥώμην εἴ τις ἀπιστεῖ, δύναται ἱστορῆσαι· ἀπόκειται γὰρ ἐν τοῖς ὁρίοις τοῦ αὐτοκράτορος τεταριχευμένος, ὡς προεῖπον.*

XXXV. 4. ὅρτοις coni. Xyl., ὁρείοις Meurs., θησαυροῖς Bochart.

ΠΕΡΙ

ΠΑΡΑΔΟΞΩΝ ΑΝΑΓΝΩΣΜΑΤΩΝ

ΤΟΥ ΨΕΛΛΟΥ.

Μὴ δὲ καινῶν ἀναγνωσμάτων εἴης ἀνήκοος. ἴσθι τοιγαροῦν, ὡς ὁ Ἐπιμενίδειος ἄλιμος μίγμα ἐστὶν ἀσφοδέλου ξηροῦ καὶ μαλάχης ῥίζης καὶ σησάμης πεπλυμένης, μήκωνός τε λευκῆς, σκίλλης τε ὠμῆς τῆς ξανθῆς· καὶ ὁ λαμβάνων τοῦτο ἄσιτος ἐφ' ἡμέρας πολλὰς διαμετρήσειεν ἀλυπότατος. τὸ νηπενθὲς συγκείμενόν ἐστιν ἐξ ἱππομανοῦς τοῦ φυτοῦ καὶ κακίμου κριτικοῦ καὶ ὑοσκυάμου καὶ μανδραγόρου· τοῦτο δ' εἴ τις ἐσθίει, νηπενθὲς ἔχει φάρμακον, κακῶν ἐπίληθες ἁπάντων. τὸ μνημονικὸν εὕρημά ἐστι Ζηναρίας τῆς Πυθαγορικῆς, συνιστᾶ δὲ τοῦτο βοτάνη λευκάνθεμος, πέπερι λευκόν, ἁλικάκαβον, μέλι, σμύρνα, κρόκος καὶ κύπερον· καὶ εἴ τις αὐτοῦ μεταλαμβάνοι, ἐπιλήσμων ἂν εἴη τῶν πονηρῶν, μνήμων δὲ τῶν ἀγαθῶν. σύλληψιν ἐργάζεται μὲν θεὸς καὶ φύσις, ὡς ἔγωγε

2. εὔλιμος M, ἄλιμος V corr. cf. Solin. polyh. 11, 12. Philon. d. tel. constr. p. 88. Thev., ubi pro ἐπιμοδίου scrib. Ἐπιμενιδείου. || 7. κριτικοῦ MV, in V alia manus fecit Κρητικοῦ, sed et hoc corrupit ipsa denuo. f. et hoc loco ἀλίμου Κρητικοῦ ex Solino reponendum. || 13. ἐπιλήσμον MV.

πέπεισμαι, Ἀφρικανὸς δέ φησιν, ὅτι καὶ τεχνική τίς ἐστι γέννησις, καὶ γεννηθήσεται τεχνικῶς, εἰ ὁ ἀνὴρ μέλλων εἰς συνουσίαν ἐλθεῖν ἐπιχρίσοι τὸ μόριον αἵματι λαγωοῦ ἢ χηνείῳ στέατι· ἀλλ' ἐκείνως μὲν ἄρρεν, οὕτω δὲ θῆλυ.

Κατάγει δὲ ὁ ἀνὴρ οὗτος καὶ γάλα ἐκ μαστῶν τεχνικῇ μεθόδῳ, καὶ σπαργῶντας μετὰ τὸν τοκετὸν σβεννύει κηρωτῇ κιτρίνῃ. ποιεῖται δὲ καὶ ἄτοκον γυναῖκα ἀτόκιον αὐτῇ περιάπτων· τοῦτο δέ ἐστι βατράχου ὀμφαλὸς ῥάκει περιειλημμένος λινῷ. καὶ ταῖς δυστοκούσαις γαγάτην λίθον τῇ ἀριστερᾷ ἐγχειρίζων χειρὶ ὠκυτοκεῖν ταύτας ἐργάζεται. πεποίηται δὲ αὐτῷ καὶ συλληπτικὰ ἕτερα μίγματα καὶ τεχνάσματα καὶ παιδοποιικὰ ἔμπλαστρα. ἔστι δὲ αὐτῷ ἴσχαιμόν τι ἐξ ἀκρεμόνων συκαμίνου συντεθειμένον τῶν φωστήρων ὑπὸ γῆν ὄντων περίαπτον· διδοῖ δὲ αὐτῷ τὴν δύναμιν ἐπῳδῇ τινι ἀπορρήτῳ. βάπτει δὲ καὶ τρίχας λευκὰς ἐκ λιθάργου κεκομμένας. ποιεῖται δὲ καὶ φωνασκικὴν ἐξ ἴρεως καὶ τραγακάνθης. ἰοῖ δὲ καὶ τὸν χρυσὸν σιέλῳ λυττῶντος κυνός. ἀντιπαθές τε ποιεῖται θηρίων πληγαῖς τῇ διπροσώπῳ ἐμπλάστρῳ. καὶ σκορπιακά τινα ὀνομάζει παράδοξα. καί τινα ἔλεγχον ποιεῖται κλεπτῶν ἀφανῶν, γυρίνων βατράχων τὰς γλώσσας ἀποτέμνων καὶ ταριχεύων, εἶτα ἐπὶ τῆς χρείας ἀλφίτοις ἀναμιγνὺς καὶ τοῖς ἐν ὑπονοίᾳ τῆς ὑφαιρέσεως τοῦ ζητουμένου προδιδούς· καὶ ὁ ἀφελόμενος, φησί, τὸ φωρίον ἐν ἐκστάσει ὥσπερ γενόμενος

11. *γαλάτην* M, item V, sed *γ* supra *λ* scripto. || *τῇ* V, *τὴν* M. || 13. *τεχνάσματα καὶ* M in mg. al. m. || *παιδοποιητικὰ* MV. || 14. *ἰσχαιμόντι* MV, sed in V *ἴσχαιμόν* ex corr. superscr. || *σηκαμίνου* MV. || 17. num *λιθαργύρου* an *λιθάργου*? || 20. *τε* V, *τι* M. || *τῇ διπροσώπῳ* V, *τῇδε προσώπῳ* M. || 22. *τυρίνων* MV, sed in V *γ* supra *τ* scripto.

ἑαυτὸν ἀριδήλως δημοσιεύει· ὀνομάζει δὲ τὸ βρῶμα κλεπτέλεγχον. καὶ περὶ γεωργίας δὲ ὁ ἀνὴρ οὗτος λέγει παράδοξα. συκάμινα γάρ, φησί, λευκὰ φέρει συκάμινος δεξαμένη λεύκην ἐγκεντρισθεῖσαν· τὰ αὐτὰ δὲ ἐνέγκοι καὶ λεύκη ἐν ᾗ ὀφθαλμισθείη συκάμινος. κατάγραπτα δὲ ἐρυθρότατα περσικὰ γίνεται, εἰ καταγράψεταί τις τὸν ἐγκείμενον τῇ πυρίνῃ καρπόν. καταπαύει δὲ καὶ λοιμὸν ἢ ὀπῷ βαλσάμου ἢ συνοχῇ δυσώδει τῇ βυρσοδευτικῇ τοῖς ἐναντίοις. σκευάζει δὲ καὶ οἶνον παντοδαπόν, τὸν μὲν νάρδου στάχυι, τὸν δὲ σχίνου ἄνθει, καὶ ἄλλον ἑτέρῳ φαρμάκῳ. πλάττει δὲ καὶ ὑακινθίνας λίθους καὶ σμαραγδίνας καὶ σαρδώνυχας. θεραπεύει τε ἀσπίδων δήγματα καὶ ἀχλὺν ὀφθαλμῶν οὐ τοῖς ἐγνωσμένοις φαρμάκοις, ἀλλὰ περιάπτοις τισὶ καὶ ἐπᾴσμασιν. ἐκ δὲ ἀποπατημάτων τῶν συνελθόντων βοῶν καὶ τοῦ οὔρου ἀποπατεῖν ἄνδρα ποιεῖ καὶ γυναῖκα οὐρεῖν ὅτε βούλοιτο καὶ γελᾶν πάμμεγα. εὐφορίαν δὲ τεχνικὴν ἢ μᾶλλον γοητικὴν χωρίοις ἐργάζεται καὶ τὴν ἐναντίαν ἀφορίαν ἐξ ἀντιπαθειῶν. τὸ δὲ ἀφροσέληνον συλλέγει ἐκ τῆς δρόσου τῶν φυτῶν καὶ τῶν σεληναίων αὐγῶν. ἀμεθύσους δὲ διατηρεῖ τοὺς ἐν οἴνῳ διανυκτερεύοντας. τερατεύεται δέ τινας ὠφελείας ἀπὸ χελώνης, ἀπὸ ἀρκτείου αἰδοίου, ἐξ ἄλλων ζώων τε καὶ θηρῶν. πεποίηται δὲ αὐτῷ καὶ ἰχνοποιὸν φάρμακον ὑπερορίων σαρκῶν. ἀφανίζει τε τὰ ἐν τοῖς λαχάνοις ζωΰφια, καινούς τινας τρόπους ὑποτιθείς. λέγει δὲ καὶ περὶ τοῦ γοργονίου· πόα

5. κατάγραπτα. cf. Geop. 10, 14. 47. 60. ‖ 9. σκευάζει. cf. Afric. cest. fr. c. 26. p. 299. Geop. 8, 1. ‖ 10. σταχύει MV. ‖ 11. πλάττει M. ‖ 12. ἀμαραγδίνας MV. ‖ 14. ἀπὸ πατημάτων MV. ‖ 17. εὐφορίαν V, ἀφορίαν M. ‖ 18. ἀφορίαν. cf. Afric. cest. fr. c. 32 sq. p. 301. ‖ 20. αὐτῶν pr. V, αὐγῶν rc. ‖ ἀμεθύστους Lamb. ‖ 24. f. ἰσχνοποιὸν — ὑπερφυῶν.

δέ ἐστι τοῦτο ὑπόγειος τὰ πολλά. λέγει γοῦν, ὡς εἴ τις κόρη πλησίον αὐτῆς ὡς Ἀφροδίτης νόμος συμπλακείη, ἄνεισιν ἐπὶ τὴν θέαν ἡ πόα καὶ τὸ γινόμενον περιέργως ὁρᾷ. ποιεῖται δὲ καὶ καλλιβλέφαρα φάρμακα καὶ ἐποπτικά. ῥᾷστον δὲ αὐτῷ καὶ τὴν πολλοῖς ἐγκυλισθεῖσαν ἀνδράσι γυναῖκα παρθένον αὖθις ἐργάσασθαι. κοιμίζει δὲ καὶ παράσιτον, καί ἐστιν αὐτῷ τὸ γινόμενον εὐθυμίας πηγή. ἐπέχει δὲ καὶ ὀνείρων ἕξιν, καὶ ῥᾷστα τὰ δευτερεῖα κατάγει, καὶ γλαυκὰ μελαίνει ὄμματα. ἔστι τε αὐτῷ καὶ κλεὶς φλεβῶν ὀλισθήμασι, καί τι ἄλλο νυκτιφαές. ἔρωτας δὲ καὶ ἀνάπτει καὶ σβέννυσι. καὶ τρίχας λευκὰς μὲν μελαίνει, λευκαίνει δὲ μελαίνας. καὶ ἄλλ' ἄττα τοιαῦτα ὁ ἀνὴρ οὗτος ἐν τοῖς κεστοῖς αὐτοῦ τερατολογεῖ καὶ διέξεισι.

Παράδοξα δὲ ποιεῖν οἱ μὲν πολλοὶ βούλοιντ' ἂν ἐκ μαγείας καὶ ἀπηγορευμένων τεχνῶν· σὺ δ' ἂν εἰ βούλοιο καὶ τὸ σέβας φυλάττοις καὶ ταῦτ' ἂν ποιοίης καὶ γελῴης ὡς ἥδιστα. λινόσπερμα γοῦν μετὰ ἀρτοτύρου ἔν τινι θαλαττίῳ μέρει διασκεδάζων ἐν αὐτῷ τὰ παρανηχόμενα συνάξεις ἰχθύδια. εἰ βούλει δὲ καὶ ἀλέκτορα νικῆσαι μαχόμενον, ἀδίαντον τρίψας τῷ συνήθει βρώματι παραμίγνυε. αἰθίοπα δὲ ποιήσεις ἐν συμποσίῳ φανῆναι, εἰ σηπίας τὸ μέλαν ἐγχέοις τῷ ἐλλυχνίῳ. καὶ στρόβυλον εἰ ἀνοῖξαι βούλοιο χέρσι, λιθάργυρον ὕδατι λειώσας κατάχριε. καὶ πεζῇ βαδίζων οὐ πονέσεις ἀρτεμισίαν ταῖς χερσὶ κατέχων μονόκλωνον. καὶ ᾠὸν ἐργάσαιο πορφυροῦν, εἰ ἐμβάλοις ἐν ἐλαίῳ θερμῷ κύμινον καὶ ὄξος

5. ἐγκυλισθεῖσαν V, ἐγκυκλισθεῖσαν M. ‖ 8. ἐπέχει — ὄμματα ab al. m. in mg. habet M. ‖ f. δευτέρεια. ‖ 16. φυλαττοῖς supra scripto εις M, φυλάττεις supra scripto οις V. ‖ 22. εἰσηπίας M. ‖ ἐγχέεις supra ει scripto η MV. ‖ στρόβυλον MV, f. στρόβιλον. ‖ 24. ἀρτεμησίαν MV.

ἔχοντι. μόλιβδον δὲ καὶ κασσίτερον εὐχερῶς μαλάξειας τῇ χειρὶ εἰς οὖρα ἵππου ἐάσας βραχῆναι τὰς ὕλας. εἰ δὲ βούλει γνῶναι κόρην εἰ παρθένος ἐστί, γαγάτην λίθον κάτωθεν θυμιῶν περισκέπασον, καὶ εἰ μὴ διὰ τοῦ στόματος αὐτῆς ὁ καπνὸς ἀνάπτῃ, παρθενίας τοῦτο δοκιμασίαν ἀκριβῆ γίνωσκε. ἀγρυπνῶν τε οὐ νυστάξεις νίτρου καὶ χαλκάνθου ὀσφραινόμενος. ὕδωρ δὲ εἰς οἶνον μεταβαλεῖς κηκίδας λειώσας καὶ ἐμβαλὼν εἰς αὐτό. σίδηρον δὲ ῥήξεις, εἰ σανδαράχην καὶ θεῖον ὄξει καταβρέξας ἐπιχρίσαις αὐτόν. γυναῖκα δὲ ἐνοπτριζομένην εἰ βούλει δεῖξαι ὀνόρυγχον, ὄνου δάκρυσι χρίε τὸ ἔσοπτρον. ᾠὸν δὲ διὰ βραχυτάτης διαβιβάσεις τρυμαλιᾶς ὄξει δριμεῖ καὶ στυπτηρίᾳ ἐμβρέχων ἐφ' ὅλαις ἡμέραις τρισίν. ἄκμων δὲ χαλκέως λυθήσεται ῥᾷστα τραγείῳ χριόμενος αἵματι. καὶ ἀλέκτωρ οὐκ ἄν ποτε ἀνακοκκύσειεν ἐλαίῳ τοὺς μυκτῆρας χριόμενος, γράμματα δὲ εἰς ὕδωρ γράψειας, εἰ κηκῖδα λεπτὴν εἰς τὸ ὕδωρ διασκεδάσειας καὶ ψιμμυθίῳ ἅμα ἐλαίῳ προσμίξειας· ἐξυμενοῦται γὰρ ἐντεῦθεν ἡ τοῦ ὕδατος ἐπιφάνεια καὶ δέχεται χειρὸς γραφούσης ἐπιβολήν.

Καὶ ταῦτα μὲν κομμοτικώτερα καὶ ἄμουσα· ἀπὸ δὲ τῶν Τεύκρου τοῦ Βαβυλωνίου βιβλίων πολλά τις ἂν εὕροι θαυμασιώτατα, ἀπό τε τῶν ἐν οὐρανῷ ζωδίων καὶ ἀπὸ τῶν παρανατελλόντων ἑκάστῳ τούτων καὶ ἀπὸ τῶν λεγομένων δεκανῶν παντοδαπὰς ἀφορμὰς ἐν διαφόροις πράξεσι ποριζόμενος. εἰσὶ γὰρ ἐν ἑκάστῳ τῶν

1. μόλιβδον et κασσίτηρον MV. || εὐχερῶ MV. || 8. κικίδας MV. || 9. εἰς ἀνδαράχην M, εἰσανδαράχην V. || 11. ὀνόρυχον MV, sed hic γ supra υχ adscripto. || 17. κικίδα MV. || 21. καὶ — ἄμουσα ab al. m. in mg. habet M. κομμοτικώτερα MV, quod certe κομμωτικώτερα scribi debebat, nisi potius κομματικώτερα aut aliud quid scribendum. || 22. βαβιλωνίου M. || 23. οὐρανῷ Salm., αὐτῷ MV.

ζωδίων τρεῖς κατειλεγμένοι δεκανοὶ ποικιλόμορφοι, ὁ μὲν κατέχων πέλεκυν, ὁ δ' εἰς ἄλλο τι ἐσχηματισμένος εἰκόνισμα· ὧν εἰ τὰ εἴδη καὶ τὰ σχήματα ἐν δακτυλίων ἐγγλύψεις σφενδόνῃ, ἀποτρόπαιά σοι δεινῶν γενήσεται. ταῦτα μὲν οὖν ὁ Τεῦκρος καὶ οἱ κατ' ἐκεῖνον περιττοὶ τὰ μετέωρα. Ἐγὼ δὲ οὐ περιεργίας ἕνεκα, νὴ τὴν ἱεράν σου ψυχήν, ἀλλὰ φιλομαθείας τὰ πλείω τῶν μαθημάτων συνελεξάμην. ἐγένετο γάρ μοι ἡ φύσις ἀκόρεστος περὶ ὁποιονοῦν μάθημα. καὶ οὐδὲν ἂν με βουλοίμην διαλαθεῖν, ἀλλ' ἀγαπώην ἂν εἰ καὶ τὰ νέρθεν εἰδείην τῆς γῆς. καὶ οὐχ ὥσπερ οἱ πολλοὶ περὶ τοῦτο μὲν ἐσπούδακα, ἐκεῖνο δὲ ἀπωσάμην, ἀλλὰ καὶ τῶν φαύλων ἢ ἄλλως ἀποτροπαίων ἐπιγνῶναι τὰς μεθόδους ἐσπούδακα, ἵν' ἔχω ἐντεῦθεν ἀντιλέγειν τοῖς χρωμένοις αὐτοῖς.

1. δικανοὶ V. ‖ 2. ὁ] ὃ MV. ‖ 4. σφενδόναις, ἀποτρόπαια δεινῶν φανήσεται Salm. ‖ 8. ἀκόρεστος M, ἀκόρετος V. ‖ 9. ὁτιονοῦν MV.

FRAGMENTA.

ANTHEMII

ΠΕΡΙ ΠΑΡΑΔΟΞΩΝ ΜΗΧΑΝΗΜΑΤΩΝ.

I. . . . ἐν τῷ δοθέντι τόπῳ κατασκευάσαι ἀκτῖνα καταπίπτειν ἡλιακὴν ἀμετακίνητον ἐν πάσῃ ὥρᾳ καὶ τροπῇ.

Ἔστω ὁ δοθεὶς τόπος ὁ πρὸς τῷ α σημείῳ. καὶ διὰ τοῦ α ἤχθω μεσημβρινὴ εὐθεῖα παράλληλος οὖσα τῷ ὁρίζοντι ἡ ἀνατείνουσα ἐπὶ τὴν ὀπὴν ἢ θυρίδα, δι' ἧς δέοι τὰς ἀκτῖνας ἐπὶ τὸ α φέρεσθαι, ὡς ἡ αβ. καὶ ἤχθω διὰ τοῦ β πρὸς ὀρθὰς τῇ αβ ἡ βγ, ἥτις ἔσται ἰσημερινή. ἔστω δὲ διὰ τοῦ β σημείου καὶ ἑτέρα εὐθεῖα θερινὴ ἡ βδ, χειμερινὴ δὲ ὁμοίως διὰ τοῦ β ἡ βε. καὶ εἰλήφθω ἀπὸ συμμέτρου διαστήματος τοῦ β, ὅσου βουλόμεθα μεγέθους καὶ τὸ ὄργανον κατασκευάζειν, ἐπὶ τῆς χειμερινῆς πρότερον εὐθείας τῆς βε σημεῖον τὸ ζ, καὶ ἐπι-

1. δεῖ ἐν τῷ VR, πῶς ἂν δεῖ ἐν τῷ C, sed litteris minusculis. || κατασκευάσαι] γενήσεσθαι AB. || 2. προσπίπτειν ABC. || πάσῃ] ἴσῃ AB. || 4. τῷ α] τῷ δ codd. || 5. τοῦ α] τοῦ δ codd. || 9. ἔστω] ἄρα V. || 11. ἀπὸ] κατὰ V.

ζεύχθω ἡ ζα, καὶ τετμήσθω ἡ ὑπὸ εζα γωνία δίχα τῇ ζη εὐθείᾳ, τοῦ η σημείου μεταξὺ τῆς τε χειμερινῆς ἀκτῖνος καὶ τῆς ἰσημερινῆς νοουμένου, ὡσανεὶ κατὰ τὴν διχοτομίαν τῆς ὑπὸ εβγ γωνίας καὶ ἐκβληθείσης τῆς ηζ ὡς ἐπὶ τὸ θ σημεῖον. ἐὰν τοίνυν κατὰ τὴν θέσιν τῆς ηζ εὐθείας νοήσωμεν ἐπίπεδον ἔσοπτρον, ἡ βζε ἀκτὶς προσπίπτουσα πρὸς τὸ ζηθ, λέγω ὅτι ἀνακλασθήσεται ἐπὶ τὸ α σημεῖον. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ εζη γωνία τῇ ὑπὸ ηζα γωνίᾳ, ἡ δὲ ὑπὸ εζη γωνία ἴση ἐστὶ τῇ κατὰ κορυφὴν τῇ θζβ γωνίᾳ, δῆλον ὅτι καὶ ἡ ὑπὸ ηζα γωνία ἴση ἐστὶ τῇ ὑπὸ θζβ γωνίᾳ. πρὸς ἄρα ἴσας γωνίας ἡ βζ ἀκτὶς ἀνακλασθήσεται ἐπὶ τὸ α τῇ αζ εὐθείᾳ. ὁμοίως δὲ καὶ τὴν ἰσημερινὴν ἀκτῖνα παρασκευάσομεν ἀνακλασθῆναι οὕτως. ἐπιζεύχθω γὰρ ἡ ηα εὐθεῖα, καὶ τῇ ηα ὡσανεὶ κέντρῳ καὶ διαστήματι γραφομένου κύκλου κείσθω ἐπὶ τῆς βγ εὐθείας ἴση ἡ ηκ. καὶ τετμήσθω ὁμοίως ἡ ὑπὸ κηα γωνία τῇ ηλμ εὐθείᾳ δίχα, τέμνουσα μὲν τὴν βκγ εὐθείαν κατὰ τὸ λ, περατουμένη δὲ ἄχρι τῆς διχοτομούσης εὐθείας τὴν ὑπὸ γβδ γωνίαν κατὰ τὸ μ σημεῖον, καὶ ἐπιζεύχθω ἡ λα. ἐπεὶ οὖν ἡ ηκ ἴση ἐστὶ τῇ ηα, καὶ τέτμηται δίχα ἡ γωνία ἡ ὑπὸ κηα τῇ ηλμ εὐθείᾳ, βάσις ἄρα ἡ κλ τῇ λα ἴση ἐστίν, ὥς τε καὶ γωνία ἡ ὑπὸ κλμ ἴση ἐστὶ τῇ ὑπὸ μλα. ἀλλ' ἡ ὑπὸ κλμ ἴση ἐστὶ τῇ ὑπὸ ηλβ· κατὰ κορυφὴν γάρ· καὶ ἡ ὑπὸ μλα ἄρα γωνία ἴση ἐστὶ τῇ ὑπὸ ηλβ γωνίᾳ. διὰ ταῦτα δὴ ἐπιπέδου ὁμοίως ἐσόπτρου νοουμένου τοῦ ηλμ συνεχοῦς ὄντος καὶ συνημ-

4. εβγ] αβγ ABVR. || 5. θ] ε ABV. || 7. post ζηθ R add. ἔσοπτρον. || 8. ἴση] σημεῖον V rc. || 9. ηζα] ζηα V. || 10. θζβ] θβζ ABV, ὑπὸ θζβ R. || 11. κατὰ ἄρα ἴσας τὰς ἑτέρας γωνίας V rc. || 13. παρασκευάσωμεν CV. || 14. ηα] αβ AB. || 18. λ] κλ ABVR. || 22. κλ] κα codd. || ὥς τε] ἤτε V. || 24. ἴση] σημεῖον V rc. || 26. ηλμ] ηλβ ABV, ημμ R.

μένου τῷ ηζθ προλεχθέντι ἐσόπτρῳ, ἡ λβ ἰσημερινὴ ἀκτὶς ἀνακλασθήσεται ἐπὶ τὸ α διὰ τῆς λα εὐθείας. ὁμοίως δὲ τὰ αὐτὰ ποιοῦντες ἐπὶ τῆς δβ εὐθείας δείξομεν τὴν βξ θερινὴν ἀκτῖνα προσπίπτουσαν ἐπὶ τὸ διὰ τῆς μξο ἐπίπεδον ἔσοπτρον καὶ ἀνακλωμένην ἐπὶ τὸ α διὰ τῆς ξα εὐθείας. εἰ τοίνυν νοήσομεν ἐν τῷ β σημείῳ ὀπήν τινα περὶ τὸ αὐτὸ κέντρον σύμμετρον, πᾶσαι αἱ προσπίπτουσαι ἀκτῖνες διὰ τῆς ὀπῆς, τουτέστι διὰ τοῦ β σημείου, ἐπὶ τὰ εἰρημένα καὶ συνεχῆ ἀλλήλοις ἔσοπτρα ἀνακλασθήσονται ἐπὶ τὸ α σημεῖον. δυνατὸν δὲ καὶ συνεχῶς διχοτομοῦντας τὰς εἰρημένας γωνίας καὶ τὰ αὐτὰ πράττοντας διὰ πλειόνων καὶ μικροτέρων ἐσόπτρων τὴν θζηλμξο γραμμὴν καταγράψαι, ἥτις εἰ νοηθείη περὶ ἄξονα τὸν βα περιφερομένη, ἀποτυπώσει τὸ λεγόμενον κλιβανοειδὲς ἔσοπτρον ὅπερ δίχα διαιρούμενον καὶ ἐπιπωμαζόμενον λεπίδι τινὶ παραλλήλῳ τῷ ὁρίζοντι καὶ διὰ μόνου τοῦ β τοῦ πρὸς τῇ ὀπῇ δεχόμενον τὰς ἀκτῖνας κατὰ πᾶσαν θέσιν πέμπειν ἐπὶ τὸ α σημεῖον. ἵνα δὲ μὴ συνεχεῖς οὕτω διαιρέσεις καὶ ἐπίπεδα ἔσοπτρα κατασκευάζοντες καὶ συντιθέντες . . . . μετὰ καὶ αὐτῆς τῆς γραμμῆς τὴν καταγραφὴν ὅπως γινομένου πρὸς αὐτὴν ἐμβόλεως . . . . τοῦ τοιούτου ἐσόπτρου γίνοιτο. ἐὰν γὰρ νοήσωμεν τῇ ζα εὐθείᾳ ἴσην τίθεσθαι τὴν πζ, ἡ πη εὐθεῖα ἴση τῇ ηα. ἐπεὶ οὖν ἡ πζ

1. λβ] αβ ABVR. ‖ 3. δέ γε αὐτὰ C, δέ γε ἀνταποιοῦντες V. ‖ π. καὶ ἐπὶ R. ‖ 6. ξα] ζα ABVR. ‖ νοήσωμεν ABCV. ‖ ἐν] πρὸς R. ‖ 13. ἐγγράψαι V. ‖ 14. κατατυπώσει RVrc. ‖ 17. τοῦ β τοῦ καταδεχομένου ἐν τῇ Vrc: deesse aliquid aut πέμψει s. πέμπει pro πέμπειν legendum esse putat Dupuy. ‖ 19. ante συνεχεῖς parvam lacunam habet R. ‖ καὶ] ὡς ABR. ‖ κατασκευάζοντας ABV. ‖ 20. συντιθέντας AB. ‖ 21. κατὰ αὐτὴν ἐκβολέως Vrc. ‖ 24. τίθεσθαι τὴν solus, ut videtur, habet Vrc. ‖ πη] πζ B, παζ VC (η sup. α).

εὐθεῖα ἴση ἐτέθη τῇ ζα καὶ . . . ὅλη ἄρα ἡ πβ ἴση ἐστὶ τῇ κβ διὰ τὸ ἴσην εἶναι τὴν πη τῇ ηκ, καὶ κατὰ τὴν διχοτομίαν τῆς γωνίας τῆς ὑπὸ πβκ, ἡ βκ ἄρα ἴση ἐστὶ ταῖς βζ, ζα. ἀλλὰ ἡ κβ ἴση ἐστὶ ταῖς βλ, λα, διὰ τὸ ἴσην εἶναι τὴν κλ τῇ λα καὶ κοινὴν τὴν λβ. καὶ αἱ δύο ἄρα, βλ, λα, ἴσαι εἰσὶ δυσὶ ταῖς βζ, ζα. διὰ τὰ αὐτὰ δὴ δειχθήσεται καὶ ἡ βν ἴση τῇ βκ καὶ ἡ πβ καὶ ἡ βξ, ξα ἴσαι ταῖς βλ, λα, καὶ αἱ βζ, ζα συναμφοτέραις. ὡς ἐκ τούτου δείκνυσθαι ἔστι, τὰς διὰ τοῦ β σημείου πεμπομένας ἀκτῖνας καὶ ἀνακλωμένας ἐπὶ τὸ α ἴσας εἶναι ταῖς λοιπαῖς πάσας τὰς τὸ αὐτὸ ποιούσας. εἰ τοίνυν διατείνομεν σπάρτον περιαγομένην τὰ αβ σημεῖα, καὶ διὰ τῆς ἀρχῆς τῶν μελλουσῶν ἀνακλᾶσθαι ἀκτίνων γραφήσεται ἡ εἰρημένη γραμμή, ἥτις μέρος ἐστὶ τῆς λεγομένης ἐλλείψεως, πρὸς ἣν ὁ ἐμβολεὺς τοῦ εἰρημένου ἐσόπτρου . . . . εται . . . .

II. *Πῶς ἂν εἰς τὸν δοθέντα τόπον ἀφεστῶτα οὐκ ἔλαττον ἢ τόξου βολὴν κατασκευάσομεν ἔξαψιν γίνεσθαι διὰ τῶν ἡλιακῶν ἀκτίνων.*

Κατὰ μὲν τοὺς ἐκθεμένους τὰς τῶν λεγομένων πυ-

1. ζα] ζακ CV. ‖ καὶ om. CVR. ‖ 2. ὡς κατὰ τῆς διχοτομίας B, κατὰ τὴν διχοτομίαν Vrc. ‖ 3. τῆς γωνίας τῆς ὑπὸ solus habet C rc. rubris litteris scripta. ‖ 4. διὰ τὸ ἴσην εἶναι τὴν κλ solus habet C. ‖ 6. διὰ τὰ om. V. ‖ 7. βν] βη V. ‖ 8. βξ, ξα] βζ, ζα V. ‖ ἴσαι] ἑτέραι Vrc. ‖ βλ solus habet V, in AB parva lac. ‖ βζ] θζ ABV, βξ C. ‖ 9. δείκνυται AB. post ἔστι lac. in ABV. ‖ 11. λοιπαῖς om. AB. post λ. lac. in V. ‖ 12. τὰ αβ] παρὰ τ . . . AB, περὶ τὰ αβ ση . . . . μετὰ Vrc, περὶ τὰ αβ R. ‖ 15. ἀμείψεως V. ‖ 16. εται solus habet C. ‖ Ad marg. in omnibus libris leguntur haec: ἐπεὶ ἴση ἡ αλ τῇ κη καὶ δίχα τέτμηται ἡ ὑπὸ αηκ γωνία τῇ ημ, ἴση ἄρα (καὶ add. R.) ἡ κμ τῇ μκ (μη C.), ἀλλ' ἡ αμ τῇ μν (μν add. Dupuy) ἴση ἐστὶ καὶ ἡ μν (μν habet C, lac. in V) τῇ μκ ἴση ἐστί, καὶ δίχα τέτμηται ἡ ὑπὸ κβν (κθμ ABV, κβμ C) γωνία τῇ βμ, ἴση ἄρα καὶ ἡ κβ τῇ βν.

II. 18. βολῆς κατασκευασμένης V.

ρίων κατασκευὰς δοκεῖ πως ἀδύνατον εἶναι τὸ προτεθέν· αἰεὶ γὰρ ὁρῶμεν τὰ πυρία ἐπὶ τὸν ἥλιον ὁρῶντα, ὅταν τὴν ἔξαψιν ποιῆται· ὥστ' εἴπερ ὁ δοθεὶς τόπος μὴ ἐπ' εὐθείας ἐστὶ ταῖς ἡλιακαῖς ἀκτῖσιν, ἀλλ' ἐφ' ἕτερόν τι νεύων μέρος ἢ ἐπὶ τὸ ἐναντίον, οὐχ οἷόν τέ ἐστι διὰ τῶν εἰρημένων πυρίων γενέσθαι τὸ προτεθέν. ἔπειτα καὶ τὸ διάστημα ἱκανὸν τὸ μέχρι τῆς ἐξάψεως ἀναγκάζει καὶ τὸ μέγεθος τοῦ πυρίου κατὰ τὰς ἐκθέσεις τῶν παλαιῶν σχεδὸν ἀδύνατον εἶναι γενέσθαι, ὥστε κατὰ τὰς εἰρημένας ἐκθέσεις ἀδύνατον εὐλόγως νομίζεσθαι καὶ τὸ προτεθέν. ἐπειδὴ δὲ τὴν Ἀρχιμήδους δόξαν οὐχ οἷόν τέ ἐστι καθελεῖν, ἅπασιν ὁμολόγως ἱστορηθέντος ὡς τὰς ναῦς τῶν πολεμίων διὰ τῶν ἡλιακῶν ἔκαυσεν ἀκτίνων, ἀνάγκη εὐλόγως καὶ τοῦτο δυνατὸν εἶναι τὸ πρόβλημα. καὶ ἡμεῖς θεωρήσαντες καθ' ὅσον οἷόν τ' ἦν [ἐπισκήψαντες] τὴν τοιαύτην ἐκθησόμεθα κατασκευήν, βραχέα τινὰ προδιαλαβόντες ἀναγκαῖα εἰς τὸ προκείμενον. — Πρὸς τῷ δοθέντι σημείῳ ἐπιπέδου ἐσόπτρου θέσιν εὑρεῖν, ἥτις [ποιήσει] κατὰ πᾶσαν θέσιν ἐρχομένην ἐπὶ τὸ εἰρημένον σημεῖον ἡλιακὴν ἀκτῖνα ἐπὶ ἕτερον ἀνακλᾶσθαι σημεῖον. Ἔστω τὸ α δοθέν, ἡ δοθεῖσα κατά τινα θέσιν ἀκτὶς ἡ βα, καὶ δέον ἔστω τὴν βα ἐπί τι ἔσοπτρον προσπίπτουσαν ἐπίπεδον καὶ συνημμένον τῷ α σημείῳ ἀνακλᾶσθαι ἐπὶ τὸ δοθὲν γ σημεῖον· ἐπιζεύχθω γὰρ

3. ποιεῖται V. || εἴπερ] ἢ εἶπον V. || 4. ἐστὶ εἶναι ταῖς V. || 6. καὶ κατὰ δ. vulg., corr. Schneid. || 9. εἶναι] ἐστὶ AB. || 12. ἅπασαν C. || ὁμ. γὰρ ῥηθέντος AB, ὁμ. μεριοθέντος ἢ ἱστορηθέντος Vrc. || 14. ἀναγκάζει εὔλογον κατὰ AB, ἀνάγκη καὶ εὐλόγως κατὰ V, corr. Schneid. || 15. διασκήψαντες V, uncis inclusit Schneid. || 19. post ἥτις lac. in V: ἀναγκάσει addi voluit Dupuy, ποιεῖ Schneid. || 21. α] ἅμα V. || 22. βα] θαι V. || ἔστω] ἅμα V. || 23. ἐμπίπτουσαν V. || συνηρημένον V. || 24. γ] α ABCV.

ἀπὸ τοῦ α ἐπὶ τὸ γ εὐθεῖα, [τεμνέσθω] δίχα τῇ αδ εὐθείᾳ [ἡ γωνία βαγ] καὶ διὰ τοῦ α νοείσθω ἐπίπεδον ἔσοπτρον τὸ εαζ πρὸς ὀρθὰς τῇ αδ εὐθείᾳ· δῆλον εἴη αὐτόθεν ἐκ τῶν προδεδειγμένων, ὡς ἡ βα ἀκτὶς προσπίπτουσα ἐπὶ τὸ εαζ ἔσοπτρον ἀνακλασθήσεται ἐπὶ τὸ γ, ὅπερ ἔδει ποιῆσαι . . . . . καὶ πᾶσαι ἄρα αἱ κατὰ τὴν αὐτὴν θέσιν προσπίπτουσαι ἀκτῖνες ἀπὸ τοῦ ἡλίου ἐπὶ τὸ ἔσοπτρον παράλληλοι οὖσαι τῇ αβ ἀνακλασθήσονται κατὰ παραλλήλους ἀκτῖνας τῇ γα. ὡς δείκνυσθαι, ὅτι καθ' οἱόν ποτε μέρος ἢ θέσιν στῇ τὸ γ σημεῖον τῇ ἡλιακῇ ἀκτῖνι, διὰ τοῦ ἐπιπέδου ἐσόπτρου ἡ ἀνάκλασις ἐπ' αὐτὸ γενήσεται. καὶ ἐπειδὴ ἡ τῶν πυρίων ἔξαψις καθ' ἕτερον οὐ γίνεται τρόπον ἢ τῷ πλείονας ἀκτῖνας εἰς τὸν ἕνα καὶ τὸν αὐτὸν τόπον συνάγεσθαι, καὶ τῆς κατὰ κορυφὴν θέρμης ἀθροιζομένης εἰκότως καὶ ἔκκαυσιν γίνεσθαι (καθ' ὃν τρόπον καὶ πυρὸς ἔν τινι τόπῳ ὑπάρχοντος τὰ πέριξ μέρη καὶ παρακείμενα τοῦ ἀέρος συμμέτρου τινὸς ἀπολαύει θερμότητος)· οὕτως εἰ νοήσομεν καὶ τοὐναντίον πάσας τὰς ἀκτῖνας ἐπὶ τὸν μέσον συνάγεσθαι τόπον, τὴν τοῦ εἰρημένου πυρὸς ἀποτελέσουσι δύναμιν. δέον οὖν ἔστω καὶ πρὸς τῷ γ σημείῳ ἀφεστῶτι τοῦ α οὐκ ἔλαττον ἢ τὸ εἰρημένον διάστημα προσαγαγεῖν καὶ ἑτέρας διαφό-

1. ἀπὸ] κατὰ V. ‖ γ εὐθείαν V. ‖ τεμνέσθω ex coni. add. Schneid., in libris lac. est. ‖ 2. ἡ γωνία βαγ ex coni. Schneid. ‖ καὶ διὰ τοῦ] ὡς διὰ τὸ V. ‖ 3. εαζ] θζ V. ‖ πρὸς εἰς V. ‖ 4. ἐμπίπτουσα V. ‖ 5. τὸ om. ABCR. ‖ εαζ] εβζ Vrc. ‖ 6. ὡς καὶ πᾶσαι — κατ' αὐτῶν κατὰ τὴν αὐτὴν θέσιν ἐμπίπτουσαι ἀ. κατὰ τ. ἡ. ἐπὶ τὸ . . . . . . V. ‖ 7. ἔσοπτρον — τῇ om. AB, rubr. litt. in C. ‖ 9. γραμμὰς post ἀκτῖνας add. Schneid. ‖ 11. αὐτὸν V, αὐτὴν cett., corr. Schneid. ‖ 16. πυρὸς AB, πυροῦς V in mg. ‖ 17. περικείμενα VR. ‖ 18. ἀπολαύει] καταλάβει V. ‖ 19. τὰς ἀκτῖνας] ἀκτῖνας τὰς θερμότητας AB, ἐκείνας τὰς θερμότητας CVR., corr. Schn. ‖ 20. ἀποτελέσωσι Dup. ‖ 22. ἐναγαγεῖν καὶ ἕτερον — κατὰ ἐπιπέδων ὁμοῦ καὶ ἴσῳ ἐσόπτρῳ — ἐκείνῳ (AB ἐκείνων) V.

ρους ἀκτῖνας ἀπὸ ἐπιπέδων ὁμοίων καὶ ἴσων ἐσόπτρων, ὥστε τὰς ἀνακλάσεις ὑφ' ἓν ἐκείνας ἁπάσας συναγομένας ποιῆσαι τὴν ἔξαψιν· ὅπερ καὶ διὰ πλειόνων ἀνδρῶν κατὰ τὴν εἰρημένην θέσιν ἔσοπτρα κατεχόντων καὶ ἐπὶ τὸ γ πεμπόντων σημεῖον ποιῆσαι τὸ προκείμενον [οἷόν ἐστιν]. ἵνα δὲ μὴ δυσχεραίνωμεν πλείοσι τοῦτο ἐπιτάττοντες (εὑρίσκομεν γὰρ ὡς οὐκ ἔλαττον εἴκοσι τεσσάρων ἀνακλάσεων χρήζει τὸ ὀφεῖλον ἐξαφθῆναι), κατασκευάσομεν οὕτως. ἔστω ἐπίπεδον ἑξαγωνικὸν ἔσοπτρον τὸ αβγδεζ καὶ τούτῳ παρακείμενα ἕτερα ὅμοια ἔσοπτρα ἑξαγωνικὰ καὶ συνημμένα τῷ προτέρῳ κατὰ τὰς εἰρημένας αβ, βγ, γδ, δε, εζ εὐθείας ἀπὸ ἥττονος [ὀλίγης] διαμέτρου, δυνάμενα δὲ κινεῖσθαι περὶ τὰς εἰρημένας εὐθείας, ἢ λεπίδων συναπτῶν προσκολλιζομένων αὐτὰ ἢ τῶν λεγομένων γιγλυμίων. εἰ τοίνυν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τοῦ μέσου κατόπτρου ποιήσομεν εἶναι καὶ τὰ πέριξ ἔσοπτρα, ἡ ἀνάκλασις δῆλον ὅτι ὁμοίως τῇ πάσῃ συνθέσει γενήσεται. εἰ δὲ μένοντος τοῦ μέσου ὡσανεὶ ἀκινήτου διά τινος ἐπινοίας εὐχερῶς προστιθεμένης ἅπαντα τὰ πέριξ ἐπὶ τὸ μέσον ἐπινεύσομεν, δῆλον ὡς καὶ αἱ ἀπ' αὐτῶν ἀνακλώμεναι ἀκτῖνες ἐπὶ τὸν μέσον τόπον τοῦ ἐξ ἀρχῆς ἐσόπτρου παραγίνονται. τὸ αὐτὸ δὴ ποιοῦντες καὶ ἕτερα πέριξ περιτιθέντες

4. ἔσοπτρον V. ‖ τὸ γ σημεῖον τὸ προκ. πεμπόντων ποιῆσαι Schn., qui et οἷόν ἐστιν ex coni. add., ubi in libris est lac. ‖ 8. κατασκευάσωμεν Dup. ‖ 9. ἔστω] ἄρα V. ‖ τετραγωνικὸν V. ‖ 10. περικείμενα R. ‖ 12. ἀπὸ] κατὰ V. ‖ ὀλίγης uncis incl. Schn. ‖ 13. λεπίδων σύναπτον καταπολλιζομένων αὐτῶν ἢ V. ‖ 14. προσκολλιζομένων Schn. p. gloss. habet ad συναπτόντων, quod abierit in συναπτῶν. ‖ γιγλυμιῶν V, γιγλύμων Schn. ‖ 16. δηλονότι κύκλος — τῇ V. ‖ 18. ὡσανεὶ] ἕως ἂν ᾖ V, ἕως αιεὶ CR, ἕως ἂν εἰ A. ὡς αἰεὶ coni. Dup., uncis incl. Schn. ‖ διὰ δή τινος Vrc. ‖ 19. ἐντιθεμένη V, προστιθεμένη ABR, in C ε rubro colore appictum est. ‖ 21. παραγενῶνται CVR, παραγενήσονται Schn. ‖ 22. περιτίσαντες V.

τοῖς εἰρημένοις ἔσοπτρα καὶ δυνάμενα νεύειν ἐπὶ τὸ μέσον, καὶ τὰς ἀπ' αὐτῶν ἀκτῖνας εἰς τὸ αὐτὸ συναγάγωμεν, ὥστε συναγομένας ἁπάσας κατὰ τὸν εἰρημένον τρόπον τὴν ἔξαψιν ἐν τῷ δοθέντι τόπῳ ποιῆσαι. κάλλιον δὲ ἡ αὐτὴ ἔξαψις γενήσεται, εἰ τέτρασιν ἢ καὶ πέντε κατόπτροις δοθείη τὰ τοιαῦτα πύρια ἀνὰ ἑπτὰ ὄντα τὸν ἀριθμὸν καὶ ἀφεστῶσι σύμμετρον ἀλλήλων διάστημα κατ' ἀναλογίαν τοῦ τῆς ἐξάψεως διαστήματος, ὥστε τὰς ἀκτῖνας τὰς ἀπ' αὐτῶν τεμνούσας ἀλλήλας πλέον δύνασθαι ποιεῖν τὴν εἰρημένην ἐκπύρωσιν. ἐν ἑνὶ γὰρ τόπῳ τῶν ἐσόπτρων ὄντων κατ' ὀξυτάτας γωνίας αἱ ἀνακλάσεις ἀλλήλας τέμνουσιν, ὥστε σχεδὸν πάντα τὸν περὶ τὸν ἄξονα τόπον θερμαινόμενον διὰ . . . . μὴ πρὸς τὸ δοθὲν καὶ μόνον σημεῖον γίνεσθαι τὴν ἐκπύρωσιν. δύναται δὲ διὰ τῆς τῶν αὐτῶν ἐπιπέδων ἐσόπτρων κατασκευῆς καὶ τὴν τῶν πολεμίων ἀμαυροῦσθαι ὄψιν, ὡς μὴ καθορῶντες βαδίζουσιν ἢ ἐπέρχονται τῶν τοιούτων κατόπτρων ἐπιπέδων ἐχόντων . . . . πηγνυμένων τε ἐν τοῖς ἐπάνω μέρεσι τῶν ἀσπίδων καὶ ἔσω . . . . . ὥστε πρὸς τοὺς πολεμίους, καθὰ εἴρηται, τὰς ἡλιακὰς ἀνακλάσεις τρέπεσθαι, καὶ διὰ τούτων εὐχερῶς δύνασθαι, ὡς εἴρηται, αὐτῶν καταγωνίζεσθαι. διὰ μὲν οὖν τῆς τῶν εἰρημένων ἐσόπτρων ἤτοι πυρίων κατασκευῆς ἥ τε ἔξαψις πρὸς τὸ δοθὲν διάστημα δύναιτο γίνεσθαι, καὶ τὰ . . . . . . καὶ γὰρ οἱ μεμνημένοι περὶ τῶν ὑπὸ Ἀρχιμήδους τοῦ θειοτάτου κατασκευασ-

1. τῶν εἰρημένων CVR: ἴσα ante τοῖς add. Schn. || ἐσόπτροις Schn. || 2. ἐπ' V. || συναγομένας V, συνάγομεν Schn. || 6. τὰ — καὶ uncis incl. Schn. || 9. ἐπ' V. || 12. πάντα τὰ ABCR. || περὶ] ἐπὶ V. || 14. καὶ uncis incl. Schn. || 16. καθορᾶσθαι AB. || 19. ἀσπιδίων C. || 20. καθ' ἃ V, κατὰ cett. || τρέπεσθαι] γενέσθαι Vrc: post h. v. lac. in AB. || 21. τούτων] τὸ codd., corr. Schn. || δυσχερῶς CVR.

θέντων ἐσόπτρων οὐ δι' ἑνὸς ἐμνημόνευσαν πυρίου, ἀλλὰ διὰ πλειόνων. καὶ οἶμαι μὴ εἶναι τρόπον τινὰ [ἕτερον] τῆς ἀπὸ τούτου τοῦ διαστήματος ἐκκαύσεως.

III. Ἐπειδὴ δὲ καὶ τῶν συνήθων πυρίων ἐμνημόνευσαν οἱ παλαιοί, πῶς δεῖ τὰς τῶν ἐμβολέων ποιεῖσθαι καταγραφὰς ὀργανικώτερον μόνον, οὐδεμίαν ἀπόδειξιν γεωμετρικὴν εἰς τοῦτο ἐκθέμενοι, μηδὲ φήσαντες εἶναι τὰς τοιαύτας κωνικὰς τομάς, οὐ μέντοι γε ποίας καὶ πῶς γινομένας, διὸ πειρασόμεθα ἡμεῖς καί τινας ἐκθέσθαι τῶν τοιούτων ἐμβολέων καταγραφὰς καὶ ταύτας οὐκ ἀναποδείκτους, ἀλλὰ διὰ τῶν γεωμετρικῶν ἐφόδων πιστουμένας. ἔστω γὰρ ἡ διάμετρος τοῦ πυρίου πρὸς ὃ βουλόμεθα κατασκευάσαι αβ, τὸ δὲ σημεῖον, ἐφ' ὃ βουλόμεθα τὴν ἀνάκλασιν γενέσθαι, ἐπὶ τῆς πρὸς ὀρθὰς τῇ αβ, καὶ δίχα τεμνούσης αὐτὴν τῆς γεδ, τὸ δ σημεῖον, τοῦ ε ἐν τῇ διχοτομίᾳ νοουμένου τῆς αβ, καὶ ἐπιζεύχθω ἡ βδ. καὶ διὰ τοῦ β παράλληλος ἤχθω τῇ δεγ ἡ βζ, ἴση οὖσα τῇ βδ, καὶ διὰ τοῦ ζ παράλληλος τῇ βα ἡ ζγ ἡ τέμνουσα τὴν δεγ κατὰ τὸ γ σημεῖον, καὶ τετμήσθω ἡ γδ δίχα κατὰ τὸ θ σημεῖον, καὶ ἔσται ἡ θε βάθος τοῦ ἐμβολέως τοῦ περὶ διάμετρον τὴν αβ, ὡς ἑξῆς ἔσται δῆλον. καὶ διῃρήσθω ἡ βε εὐθεῖα εἰς ὅσα δή ποτε τμήματα ἴσα, ὑποκείσθω δὲ ὡς ἐπὶ τῆς παρούσης καταγραφῆς εἰς τρία, εἰς τὴν εκ καὶ τὴν κλ καὶ τὴν λβ, καὶ διὰ τῶν κ, λ, παράλ-

2. γενέσθαι τὴν ἐκπύρωσιν post πλειόνων add. Schn. ‖ 3. τῆς κατὰ τόπον τοῦ διαστήματος κατασκευάσεως ἐκκαύσεως Vrc: ἕτερον iam addi voluit Dup., qui et corr. τοιοῦτον, addit Schn.

III. 6. δὲ post οὐδεμίαν add. Schn. ‖ 10. ταύτας] τὰς R. ‖ ἀναποδήκτους V. ‖ 12. περὶ τῶν πυρίων tanquam titulum ante ἔστω habent AB. ‖ εἰς ὃ ἐλόμεθα V, et sic iterum v. 13. ‖ 15. αὐτῆς τὴν VR. ‖ ἐν] πρὸς R. ‖ 17. παράλληλος] ὅς V. i. e. = ος. ‖ 17. βζ] εζ ABVR.

ληλοι ταῖς βζ, εγ, ἤχθωσαν αἱ λμ, κν, καὶ τετμήσθω ἡ ὑπὸ ζβδ γωνία δίχα τῇ ξβ εὐθείᾳ, τοῦ ξ σημείου κατὰ τὸ μέσον νοουμένου τῶν βζ, λμ παραλλήλων. καὶ ἐκβεβλήσθωσαν αἱ εἰρημέναι παράλληλοι πᾶσαι ὡς ἐπὶ τὰ δ μέρη κατὰ τὰ π, ρ σημεῖα. λέγω ὅτι ἡ πκ ἀκτὶς κατὰ παράλληλον οὖσα τῷ ἄξονι θέσιν, τουτέστι τῇ εδ προσπίπτουσα ἐπὶ τὸ διὰ τῆς ξε ἔσοπτρον κατὰ τὸ β σημεῖον ἐπὶ τὸ δ ἀνακλασθήσεται, διὰ τὸ δίχα τὴν ὑπὸ ζβδ καὶ πρὸς ἴσας ἀνακλᾶσθαι γωνίας, καθὼς προδέδεικται. ὁμοίως δὲ καὶ τὴν ρλ ἀκτῖνα ποιήσομεν ἀνακλασθῆναι ἐπὶ τὸ δ οὕτως. ἐπιζεύχθω γὰρ ἡ ξδ εὐθεῖα, ὁμοίως δὲ καὶ ξμ, ξζ, καὶ δῆλον ὡς ἡ ξδ ἴση ἐστὶ τῇ ξζ διὰ τὴν διχοτομίαν τῆς πρὸς τῷ β γωνίας. ἀλλ' ἡ ξζ τῇ ξμ ἴση ἐστὶ διὰ τὸ ἀπὸ μέσου τοῦ ξ φέρεσθαι αὐτὰς ἐπὶ τὰ ζ, μ σημεῖα καὶ ἡ μξ ἴση ἐστὶ τῇ ξδ. τετμήσθω οὖν ἡ γωνία ἡ ὑπὸ μξδ δίχα τῇ ξτο, τοῦ ο κατὰ μέσον νοουμένου τῶν μλ, νκ παραλλήλων, τεμνούσῃ δὲ τὴν μλ παράλληλον κατὰ τὸ τ. διὰ τὰ αὐτὰ δὴ δειχθήσεται καὶ ἡ μτ ἴση τῇ τδ καὶ ἡ τδ . . . .

ARCHELAI.

I. Vid. Antig. Caryst. hist. mir. c. 19.
II. Vid. ibidem.
III. Vid. ibid. c. 89.

2. εὐθείᾳ] γωνίᾳ V. ‖ 4. ἐπὶ om. V. ‖ 5. τὰ παρασημεῖα V. ‖ 8. ὑπὸ om. V. ‖ post ζβδ aliquid excidisse putat Dupuy. ‖ πρὸς ἴσας] κατὰ ἑτέρας Vrc. ‖ 9. ἐπὶ δὲ καὶ τὴν οὖν V. ‖ 13. β] βγ ACVR. ‖ 14. ἀπὸ] κατὰ V.

IV. Primum apes nascuntur partim ex apibus, partim ex bubulo corpore putrefacto. itaque Archelaus in epigrammate ait eas esse

βοὸς φθιμένης πεποτημένα τέκνα.

idem

ἵππων μὲν σφῆκες γενεά, μόσχων δὲ μέλισσαι.

Varro de r. r. 3, 16.

V. De quibus admirandum illud, quod etiam Archelaus scribit, *non ut reliqua animalia naribus, sed auribus spiritum ducere solere, nec unquam febri carere.* Varro d. r. r. 2, 3. Plin. hist. nat. 8. 50, 202.

VI. *Perdices, quae*, ut Archelaus scribit, *voce maris audita concipiunt.* Varro d. r. r. 3, 11.

VII. Archelaus auctor est, *quot sint corporis cavernae ad excrementa lepori, totidem annos esse aetatis. varius certe numerus reperitur.* idem *utramque vim singulis inesse ac sine mare aeque gignere.* Plin. h. n. 8, 55. Varro d. r. r. 3, 12.

VIII. *Sanguine ipsius hominis ex quacunque parte omisso efficacissime anginam illini* tradunt Orpheus et Archelaus, item *ora comitiali morbo lapsorum; exsurgere enim protinus.* Plin. hist. nat. 28. 4, 43.

IX. *Ἐν Λιβύῃ ἡμιόνους τινὰς ἢ τετρωμένους Ἀρχέλαος λέγει ἢ ἀπειπόντας ὑπὸ δίψους ἐρρίφθαι νε-*

IV. 4. *πεποιημένα* vulg., corr. Turneb., Scal. et Reines. *πεπλανημένα.* ‖ 6. post hunc versum alius in edd. antiquis legitur, *ἵπποι μὲν σφηκῶν γένεσις, μόσχοι δὲ μελισσῶν*, depromptus ex Nicand. ther. 741; deest in mss.

V. 8. quibus, sc. capris.

IX. 26. *ἢ* codd., *εἴτε* edd. ante Iacobs.

κροὺς πολλούς· πολλάκις δὲ ὄφεων ἐπιρρευσάντων φῦλον πάμπολυ τῶν νεκρῶν ἐσθίειν, ἐπὰν δὲ βασιλίσκου συρίγματος ἀκούσῃ, τὰ μὲν ὑπὸ τοῖς ἰλεοῖς καὶ τῇ ψάμμῳ ἀφανίζεσθαι τὴν ταχίστην καὶ ἑαυτὰ ἀποκρύπτεσθαι, τὸν δὲ προσελθόντα κατὰ πολλὴν τὴν εἰρήνην δειπνεῖν· εἶτα αὖθις ὑποσυρίζειν καὶ ἀπαλλάττεσθαι, τοὺς δὲ ἡμιόνους καὶ τὸ δεῖπνον τὸ ἐξ αὐτῶν σημαίνεσθαι τὸ ἐντεῦθεν, τὸ τοῦ λόγου τοῦτο, ἄστροις. Aelian. hist. anim. 2, 7.

X. Ἀλλὰ καὶ Ἀρχέλαός φησι τὰ τῶν μυῶν ἥπατα λοβοὺς ἔχειν πέντε καὶ δέκα, οἵτινες οὐκ ἀθρόοι πάντες ἐγγίνονται, ἀλλ' ἕκαστος καθ' ἡμέραν σεληνιακὴν εἷς ἐπιγινόμενος ἐξ οὐκ ὄντος προστίθεται ἀπὸ τῆς νεομηνίας μέχρι τῆς πανσελήνου, πάλιν δὲ ἀπὸ τῆς πανσελήνου εἷς ἐφ' ἑνὶ καθ' ἡμέραν φθίνων λοβός, πάντες μέχρι τῆς νεομηνίας ἐκλείπουσι, καὶ αὖθις ἐξ ἐκείνης ἄρχονται γίνεσθαι πρὸς τὴν τῆς σελήνης περίοδον καὶ τὸν ἀριθμὸν τῶν ἐκείνης ἡμερῶν καὶ αὐτοὶ γινόμενοι καὶ ἀπογινόμενοι καὶ πληθυνόμενοι καὶ μειούμενοι. ὁ δ' αὐτὸς ἱστορικὸς λέγει καὶ τὰ τῶν θαλασσίων ἐχίνων ᾠὰ τὸ αὐτὸ πάσχειν. Boissonad. anecd. gr. 1. p. 417 sq. ex cod. Paris. 1630.

XI. Ἀρχέλαος ἐν τοῖς ἰδιοφυέσι φησὶ τὰς μυραίνας τοῖς ἔχεσι μίγνυσθαι [προϊούσας εἰς γῆν], ἔχειν δὲ ὀδόντας ὁμοίους ἔχεσι. Schol. Nicand. ther. v. 822.

XII. Κατῶβλεψ, παρὰ Ἀρχελάῳ τῷ Χερρονησίτῃ ἐν τοῖς ἰδιοφυέσιν. Athen. 9. p. 409. C.

1. ἐπιρρεῦσαν co. Paris. ‖ 2. τῶν κρεῶν ante Gronov. ‖ 5. προσελθόντα Par., ἐλθόντα edd. ‖ 6. ἐπισυρίζειν edd. ‖ τὰς δὲ cod. Med.
X. Antig. c. 124.

ARISTOCLIS.

I. *Ἀριστοκλῆς ἐν α΄ παραδόξων. Ἐφέσιος τῷ γένει νεανίας τῶν ἐπισήμων, υἱὸς Δημοστράτου, ταῖς δ᾽ ἀληθείαις Ἄρεως, οὗτος τὸ θῆλυ μισῶν γένος νυκτὸς βαθείας εἰς τὰς πατρῴας ἔτρεχεν ἀγέλας, καὶ ὄνῳ συνεγένετο θηλείᾳ· ἡ δὲ ἔγκυος γενομένη ἔτεκε κόρην εὐειδεστάτην Ὀνοσκελίαν τοὔνομα, τὴν προσηγορίαν λαβοῦσαν ἀπὸ τοῦ συμπτώματος.* Stobaeus florileg. 64, 37.

II. *Οἱ μὲν Παλαμάονα λέγουσι ῥῆξαι τὴν τοῦ Διὸς κεφαλήν, ὅτε Ἀθηνᾶν ἐγεννᾶτο, οἱ δὲ Ἑρμῆν, οἱ δὲ Προμηθέα, Ἀριστοκλῆς δὲ ὑφίσταται τὴν γέννησιν Ἀθηνᾶς ἐν Κρήτῃ· νεφέλῃ γάρ φησι κεκρύφθαι τὴν θεόν, τὸν δὲ Δία πλήξαντα τὸ νέφος προφῆναι αὐτήν.* Schol. Pind. Ol, 7, 66.

CALLIMACHI.

Vid. Antig. Caryst. hist. mir. c. 129 sqq.

I. Habent etiam Plutarch. parall. min. c. 29. et Apost. prov. 14, 70. sub falso nomine *Aristotelis*, sub *Aristoclis* Arsen. viol. p. 385. ‖ 1. α΄] β΄ Plut. Ars., ζ΄ Apost. ‖ 2. ταῖς] παῖς Ars. ‖ 3. οὗτος Ars., τοῦτο vulg., supra scripto οὕτως B. ‖ 6. Ὀνόσκελιν Plut. ‖ 10. Ἀριστοκλῆς δὲ ὑφίσταται ex codd. Boeckh., Ἀρίσταρχος δέ φησιν ὑφ. vulg.

ISIGONI.

I. *Priores Anthropophagos, quos ad septemtrionem esse diximus decem dierum itinere supra Borysthenem amnem, ossibus humanorum capitum bibere cutibusque cum capillo pro mantelibus ante pectora uti* Isigonus Nicaeensis. idem *in Albania gigni quosdam glauca oculorum acie, a pueritia statim canos, qui noctu plus quam interdiu cernant.* idem *itinere dierum decem supra Borysthenem Sauromatas tertio die cibum capere semper.* Plinius hist. nat. 7. 2, 12.

II. *In eadem Africa familias quasdam effascinantium* Isigonus et Nymphodorus, *quorum laudatione intereant probata, arescant arbores, emoriantur infantes. esse eiusdem generis in Triballis et Illyriis* adiicit Isigonus, *qui visu quoque effascinent interimantque quos diutius intueantur, iratis praecipue oculis, quod eorum malum facilius sentire puberes. notabilius esse quod pupillas binas in oculis singulis habeant.* Plinius hist. nat. 7. 2, 16.

III. *Cyrnos Indorum genus* Isigonus *annis centenis quadragenis vivere. item Aethiopas Macrobios et Seras* existimat *et qui Athon montem incolant, hos quidem, quia viperinis carnibus alantur; itaque nec capiti nec vestibus eorum*

5. *Iccensis* Murbac., *Siccensis* Chiffl. || 13. *probata* Murb., πρόβατα Hard. || 17. *irritatis* Tolet. || 21. *gentem* cod. Dalech.

noxia corpori inesse animalia. Plinius hist. nat. 7. 2, 27.

IV. *Καὶ μὴν καὶ Ἰσίγονος ὁ Κιττιεὺς ἐν Ῥόδῳ τῇ νήσῳ τὸν τοῦ Διὸς ταῦρόν φησιν οὐκ ἀμοιρῆσαι λόγου τοῦ καθ' ἡμᾶς.* Cyrill. c. Jul. 3. p. 88. C.

V. *Πρόβατα δὲ χρυσόχροόν που φέρειν τὴν ἐρέαν*
Ῥηγῖνος τὸν Ἰσίγονον εἰσφέρει γεγραφότα.
Tzetz. chil. 1, 18. v. 468 sq.

VI. Vid. Sotionis fragm. d. fluv. cap. I. *ἐν δευτέρῳ ἀπίστων.*

VII. ibid. cap VIII.

VIII. ibid. cap. XLIII.

IX. ibid. cap. II.

X. ibid. cap. IX.

XI. ibid. cap. XI.

XII. ibid. cap. XII.

XIII. ibid. cap. XIII.

XIV. ibid. cap. XIV.

XV. ibid. cap. XXI.

XVI. ibid. cap. XXVII.

XVII. ibid. cap. XXXVI.

XVIII. ibid. cap. XL.

XIX. ibid. cap. XLIV.

3. *Κιττιεὺς*] f. *Νικαιεύς*. || 6. *χρυσόχροον* cod. Mon. B, *χρυσόχροα* vulg. || 7. *Ἡσίγονον* edd. vett.

LYSIMACHI.

I. *Περὶ δὲ Εὐρώπης καὶ τῆς Κάδμου εἰς Θήβας παρουσίας Λυσίμαχος ἐν τῇ πρώτῃ τῶν Θηβαϊκῶν παραδόξων συνείλοχε πολλὴν τὴν ὕλην διαφωνοῦσαν.* Schol Apoll. Rhod. 3, 1179.

II. *Εἰσί γε οἵ φασι τὸ μνῆμα τοῦ Οἰδίποδος ἐν ἱερῷ Δήμητρος εἶναι ἐν Ἐτεωνῷ, μεταγαγόντων αὐτὸν ἐκ Κεοῦ τινος ἀσήμου χωρίου, καθάπερ ἱστορεῖν φησιν Ἀρίζηλον Λυσίμαχος ὁ Ἀλεξανδρεὺς ἐν ιγ' τῶν Θηβαϊκῶν γράφων οὕτως· Οἰδίπου δὲ τελευτήσαντος καὶ τῶν φίλων ἐν Θήβαις θάπτειν αὐτὸν διανοουμένων ἐκώλυον οἱ Θηβαῖοι διὰ τὰς προγεγενημένας συμφοράς, ὡς ὄντος ἀσεβοῦς, οἱ δὲ κομίσαντες αὐτὸν εἴς τινα τόπον τῆς Βοιωτίας καλούμενον Κεὸν ἔθαψαν αὐτόν· γινομένων δὲ τοῖς ἐν τῇ κώμῃ κατοικοῦσιν ἀτυχημάτων τινῶν, οἰηθέντες αἰτίαν εἶναι τὴν Οἰδίπου ταφήν, ἐκέλευον τοὺς φίλους ἀναιρεῖν αὐτὸν ἐκ τῆς χώρας, οἱ δὲ ἀπορούμενοι τοῖς συμβαίνουσιν ἀνελόντες ἐκόμισαν εἰς Ἐτεωνόν· βουλόμενοι δὲ λάθρα τὴν ταφὴν ποιήσασθαι καταθάπτουσιν νυκτὸς ἐν ἱερῷ Δήμητρος, ἀγνοήσαντες τὸν τόπον· καταφανοῦς δὲ γενομένου πέμψαντες οἱ τὸν Ἐτεωνὸν κατοικοῦντες τὸν θεὸν ἐπηρώτων, τί ποιῶσιν, ὁ δὲ θεὸς εἶπεν, μὴ κινεῖν τὸν ἱκέτην τῆς θεοῦ· διόπερ αὐτοῦ τέθαπται. καὶ τὸ ἱερὸν Οἰδιπόδειον κληθῆναι.* Schol. Soph. Oed. Col. v. 91.

2. *παραδόξως* edd.: paullo post in eisdem scholiis *Λυσίμαχος ἐν τῇ συναγωγῇ τῶν Θηβαϊκῶν παραδόξως (παραδόξων) ἱστορεῖ.* ‖ 3. *συνείλεχε* vulg. ‖ 18. *συμφαίνουσιν* vulg.

III. *Λυσίμαχος δέ φησιν ἐν τοῖς Θηβαϊκοῖς παραδόξοις, τριάκοντα ἀργυρίου τάλαντα ἀπαιτούντων ποινὴν ἐπὶ Ἰφίτῳ οὕτως ἐπ' αὐτοὺς Ἡρακλέα στρατεῦσαι.* Schol. Eurip. Hippol. v. 545.

IV. *Τινὲς δὲ καὶ Λαΐου τὴν Σφίγγα παραδιδόασιν, ὡς Λυσίμαχος.* Schol. Eurip. Phoen. v. 26.

V. *Ὁ Ἑλικὼν καὶ Κιθαιρών, ὄρη τῆς Βοιωτίας,*
ἐξ Ἑλικῶνος ἀδελφῶν ὄντων καὶ Κιθαιρῶνος,
οἵπερ ἀλλήλους ἔκτειναν, ὡς οἱ Οἰδίπου παῖδες,
ὡς ἔγραψε Λυσίμαχος ἀνὴρ ὁ Κυρηναῖος.
Tzetz. chil. 6, 88. v. 917 sqq.

MONIMI.

Μόνιμος δ' ἱστορεῖ ἐν τῇ τῶν θαυμασίων συναγωγῇ, ἐν Πέλλῃ τῆς Θετταλίας Ἀχαιὸν ἄνθρωπον Πηλεῖ καὶ Χείρωνι καταθύεσθαι. Clemens Alex. protr. p. 12. S.

MYRSILI.

I. *Τὸν στέφανον δ' αὐτοῖς δίδοσθαι μυρρίνης ἱστορεῖ Μυρσίλος ἐν ἱστορικοῖς παραδόξοις.* Athen. 13. p. 610. A.

2. *ἀπαιτούντων*, sc. *τῶν Οἰχαλιέων.*

13. Monimi fragmentum sic profert Cyrill. c. Iul. 4. p. 128. C. *ἱστορεῖ δὲ καὶ Μόνιμος ἐν τῇ τῶν θαυμασίων συναγωγῇ, Πηλεῖ καὶ Χείρωνι καταθύεσθαί τινας ἐν Πελλήνῃ τῆς Θρᾴκης.* ‖ 17. sc. in certamine pulchritudinis apud Eleos.

II. *Τοῦτον ἐμφερέστατον λέγουσι τὴν ὄψιν Περιάνδρῳ τῷ Κυψέλου γενέσθαι, καθάπερ Ἀλκμαίωνι μὲν τῷ Ἀμφιάρεω τὸν Πέρσην Ὀρόντην, Ἕκτορι δὲ τὸν Λακεδαιμόνιον νεανίσκον, ὃν ἱστορεῖ Μυρσίλος ὑπὸ πλήθους τῶν θεωμένων ὡς τοῦτ' ἔγνωσαν καταπατηθῆναι.* Plutarch. vit. Arat. c. 3.

NICOLAI DAMASCENI

ΠΑΡΑΔΟΞΩΝ ΕΘΩΝ ΣΥΝΑΓΩΓΗΣ.

(Ex Ioannis Stobaei florilegio.)

I. *Ἰβήρων αἱ γυναῖκες κατ' ἔτος ὅ τι ἂν ἐξυφήνωσιν ἐν κοινῷ δεικνύουσιν· ἄνδρες δὲ χειροτονητοὶ κρίναντες τὴν πλεῖστα ἐργασαμένην προτιμῶσιν. ἔχουσι δὲ καὶ μέτρον τι ζώνης, ἣ τὴν γαστέρα περιλαβεῖν ἂν μὴ δυνηθῶσιν, αἰσχρὸν ἡγοῦνται.*

II. *Παρὰ Ταρτησσίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν οὐκ ἔξεστι.*

III. *Κελτοὶ οἱ τῷ ὠκεανῷ γειτνιῶντες αἰσχρὸν ἡγοῦνται τοῖχον καταπίπτοντα ἢ οἰκίαν φεύγειν. πλημμυρίδος δὲ ἐκ τῆς ἔξω θαλάττης ἐπερχομένης μεθ' ὅπλων*

1. τοῦτον, sc. τὸν *Νικοκλέα.*

I. Stob. flor. 5, 121. cf. Apost. 9, 60. Arsen. p. 263. ‖ 7. ἐξυφαίνωσιν vulg., corr. Schow. ‖ 9. τὴν] τὰ Or.

II. 44, 41.

III. 7, 40. cf. Arist. eth. Eudem. 3, 1. Ael. v. h. 12, 23. Strab. 7. p. 293.

ἀπαντῶντες ὑπομένουσιν ἕως κατακλύζονται, ἵνα μὴ δοκῶσι φεύγοντες τὸν θάνατον φοβεῖσθαι.

IV. *Κελτοὶ σιδηροφοροῦντες τὰ κατὰ πόλιν πάντα πράττουσι, μείζω δ' ἐστὶν ἐπιτίμια κατὰ τοῦ ξένον ἀνελόντος ἢ πολίτην· ὑπὲρ τοῦ μὲν γὰρ θάνατος ἡ ζημία, ὑπὲρ τοῦ δὲ πολίτου φυγή. τιμῶσι δὲ μάλιστα τοὺς χώραν τῷ κοινῷ προσκτωμένους. τὰς δὲ θύρας τῶν οἰκιῶν οὐδέποτε κλείουσι.*

V. *Ὀμβρικοὶ ἐν ταῖς πρὸς τοὺς πολεμίους μάχαις αἴσχιστον ἡγοῦνται ἡττημένοι ζῆν, ἀλλ' ἀναγκαῖον ἢ νικᾶν ἢ ἀποθνήσκειν.*

VI. *Ὀμβρικοὶ ὅταν πρὸς ἀλλήλους ἔχωσιν ἀμφισβήτησιν, καθοπλισθέντες ὡς ἐν πολέμῳ μάχονται, καὶ δοκοῦσι δικαιότερα λέγειν οἱ τοὺς ἐναντίους ἀποσφάξαντες.*

VII. *Λευκανοὶ δικάζονται ἀλλήλοις ὥσπερ ἄλλου τινὸς ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας. ἐὰν δέ τις ἀσώτῳ δανείσας χρέος ἐλεγχθῇ, στέρεται αὐτοῦ. καὶ Ἀθήνησι δὲ τῆς ἀργίας εἰσὶ δίκαι.*

VIII. *Παρὰ Σαυνίταις κατ' ἔτος οἵ τε ἤιθεοι κρίνονται δημοσίᾳ καὶ αἱ παρθένοι, ὁ δὲ κριθεὶς ἄριστος εἶναι λαμβάνει ἣν βούλεται, εἶτ' ὁ μετ' ἐκεῖνον δεύτερος καὶ οὕτως ἐφεξῆς.*

IX. *Δαρδανεῖς, Ἰλλυρικὸν ἔθνος, τρὶς ἐν τῷ βίῳ*

1. *κατακλύζωνται* Or. Cor.

IV. 44, 41. cf. Caes. b. g. 6, 23. Ar. mir. ausc. c. 85. ‖ 4. *ξένον — πολίτου* B pr. ‖ 5. *ὑπὲρ οὗ* A. ‖ 6. *τοῦ δὲ*] *δὲ τοῦ* B rc.

V. 7, 39.

VI. 10, 70.

VII. 44, 41. ‖ 17. *καὶ — δίκαι* om. Cor.

VIII. 44, 41. cf. Strab. 5. p. 250. ‖ 19. *Σουνίταις* codd., corr. Holst.

IX. 5, 51. cf. Ael. v. h. 4, 1. Strab. 7. p. 316.

λούονται μόνον, ὅταν γεννῶνται καὶ ἐπὶ γάμοις καὶ τελευτῶντες.

X. *Λιβύρνιοι κοινὰς τὰς γυναῖκας ἔχουσι καὶ τὰ τέκνα ἐν κοινῷ τρέφουσι μέχρις ἐτῶν πέντε· εἶτα τῷ ἕκτῳ συνενέγκαντες ἅπαντα τὰ παιδία τὰς ὁμοιότητας πρὸς τοὺς ἄνδρας εἰκάζουσι καὶ ἑκάστῳ τὸν ὅμοιον ἀποδιδόασι πατρί· ἀφ' ἧς δ' ἂν ἀπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ὑπολαμβάνει.*

XI. *Αὐταριάται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς ὁδοιπορίαις οὐδέποτε ζῶντας ἀπολείπουσι.*

XII. *Βοιωτῶν ἔνιοι τοὺς τὸ χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτοῖς· ὃς δ' ἂν κοφινωθῇ ἄτιμος γίνεται. δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ Εὐριπίδου πατὴρ, Βοιωτὸς ὢν τὸ γένος.*

XIII. *Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας ἢ τὰς εἰς πόλεμον εὐθέτους αἰσχρόν ἐστιν. ἑστιῶνται δὲ πάντες ἐν κοινῷ. τοὺς δὲ γέροντας αἰσχύνονται οὐδὲν ἧττον ἢ τοὺς ἰδίους πατέρας. γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστι, οὕτω καὶ παρθένων. ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ οὔτε Σπαρτιάταις ξενιτεύειν. ταῖς δὲ αὐτῶν*

1. *καὶ δύο* (debebat *β'*) *ὅταν γαμῶσι καὶ γ̄ ὅταν τελευτῶσι* A.

X. 44, 41. ‖ 3. *Λιβύρνιοι* A rc. (et sic. corr. Holst.), *Λιβυρνοί* B rc. (quod probat Cor.), *Λιμυρίνιοι* B pr., *Λιμύρνιοι* vulg. ‖ 4. *μέχρις* A, *μέχρι* cett. ‖ 5. *συνενέγκοντες* B rc. ‖ 6. *τὸν*] *τὸ* B rc. ‖ 7. *ἀπολάβῃ* et *ὑπολαμβάνει* AB rc., vulg. *ὑπολάβῃ* et *ἀπολαμβάνει*.

XI. 54, 39. ‖ 9. *Ἀνταριάται* A, *ἀταριάται* Gesn. mg., *Αὐταρχιάδαι* Trinc., *Αὐταρκιάται* vulg.

XII. 44, 41. ‖ 11. *τὸ χρέος* AB rc., om. vulg.

XIII. 44, 41. ‖ 17. *εὐθέτους* AB rc., om. vulg. ‖ 18. *κατ' οὐδὲν* A. ‖ 19. *τοὺς ἰδίους πατέρας* AB pr., *πατέρας* cett. ‖ 20. *παρθένων*] *τῶν πατέρων* A. ‖ 21. *ξενιτεύειν*] *ἔθος ξ.* AB rc.

γυναιξὶ παρακελεύονται ἐκ τῶν εὐειδεστάτων κύεσθαι καὶ ἀστῶν καὶ ξένων. χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάταις. νομίσματι δὲ χρῶνται σκυτίνῳ· ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς ἢ ἄργυρος, θανάτῳ ζημιοῦται. σεμνύνονται δὲ πάντες ἐπὶ τῷ ταπεινοὺς αὐτοὺς παρέχειν καὶ κατηκόους ταῖς ἀρχαῖς. μακαρίζονται δὲ μᾶλλον παρ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες ἢ οἱ εὐτυχῶς ζῶντες. οἱ δὲ παῖδες νομίμως περί τινα βωμὸν περιιόντες μαστιγοῦνται, ἕως ἂν ὀλίγοι λειφθέντες στεφανωθῶσιν. αἰσχρὸν δέ ἐστι δειλῶν σύσκηνον ἢ συγγυμναστὴν ἢ φίλον γενέσθαι. κρίσις δὲ τῆς γεροντίας ἐπὶ τῷ τέρματι τοῦ βίου προστίθεται τοῖς τε εὖ ἢ κακῶς ζήσασιν. ὅταν δὲ στρατεύωνται ἔξω χώρας, πῦρ ἀπὸ τοῦ βωμοῦ τοῦ Ἀγήτορος Διὸς ἐναυσάμενος πυρφόρος λεγόμενος σύνεστι τῷ βασιλεῖ ἄσβεστον αὐτὸ τηρῶν. συνεκπέμπονται δὲ τῷ βασιλεῖ μάντεις καὶ ἰατροὶ καὶ αὐληταί, οἷς ἐν ταῖς μάχαις ἀντὶ σαλπίγγων ἀεὶ χρῶνται. μάχονται δὲ ἐστεφανωμένοι. ὑπανίστανται δὲ τῷ βασιλεῖ πάντες πλὴν τῶν ἐφόρων. ὀμνύει τε πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύσειν.

2. Σπαρτιάταις Damasc., τοῖς Σπ. A, Σπαρτιάτῃ vulg. || 3. νομίσμασι — σκυτίνοις AB rc, ν. σιδηρῷ corr. Fischer. || 6. ὑπ' αὐτοῖς B rc. Trinc. || 8. τινα] τὸν A pr. || 9. λειφθέντες] μὴ λυπηθέντες aut καρτεροὶ vel νικηταὶ ante λειφθ. vult Orell. || 10. δειλῶν] δόλων A pr., δειλῷ Cor. || ἢ φίλον B rc., φίλον (ἢ supra scr.) A, φίλων Damasc., olim φίλων. || 11. δὲ A rc. inter versus. || τῆς γεροντίας corr. Weisk. ex Xen. rep. Lac. c. 10, vulg. ταῖς γεροντίαις, A τ. γεροντείαις. || 12. προστίθεται Cor. || τε om. aut καὶ κ. vult Cor., τοῖς εὖ καὶ καλῶς corr. Or. || ζήσασιν A Trinc., ζήσωσιν cett. || στρατεύωνται A Trinc, στρατεύονται cett. || 14. τῷ ἰδίῳ βασιλεῖ A. || 15. αὐτῷ Trinc. || 16. βασιλεῖ] βασιλεῖ πάντες AB. || 17. ἐστεφανωμένοι] οἱ Λακεδαιμόνιοι ἐστ. A, στεφανώμενοι Tr || 18. τῷ et τῶν AB rc., om. vulg. || 20. βασιλεύειν vulg., corr. Cor. ex Xen. rep. Lac. c. 15.

XIV. *Κρῆτες πρῶτοι Ἑλλήνων νόμους ἔσχον τοῦ Μίνωος θεμένου, ὃς καὶ πρῶτος ἐθαλασσοκράτησεν. προσεποιεῖτο δὲ ὁ Μίνως παρὰ τοῦ Διὸς αὐτοῦ μεμαθηκέναι δι' ἐννέα ἐτῶν εἴς τι ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινας νόμους φέρων τοῖς Κρησί. μέμνηται δὲ τούτου καὶ Ὅμηρος, ἐν οἷς λέγει*

τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἔνθα γε Μίνως
ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής.

οἱ δὲ Κρητῶν παῖδες ἀγελάζονται κοινῇ μετ' ἀλλήλων σκληραγωγούμενοι, καὶ θήρας καὶ δρόμους τε ἀνάντεις ἀνυπόδητοι κατανύοντες, καὶ τὴν ἐνόπλιον πυρρίχην ἐκπονοῦντες, ἥντινα πρῶτος εὗρε Πύρριχος Κυδωνιάτης Κρὴς τὸ γένος. συσσιτοῦσι δ' ἐν κοινῷ οἱ ἄνδρες τὴν αὐτὴν δίαιταν ἔχοντες ἐξίσου πάντες. δῶρα δὲ αὐτοῖς ἐστιν ὅπλα τιμιώτατα.

XV. *Τελχῖνες ἄνθρωποι ὀνομαζόμενοι τὸ ἀνέκαθεν Κρῆτες, οἰκήσαντές [τε] καὶ ἐν Κύπρῳ, μεταναστάντες δ' εἰς Ῥόδον καὶ πρῶτοι τὴν νῆσον κατασχόντες, βάσκανοί τε σφόδρα ἦσαν καὶ φθονεροί· τεχνῖται δὲ ὄντες καὶ τὰ τῶν προτέρων ἔργα μιμησάμενοι Ἀθηνᾶς Τελχινίας ἄγαλμα πρῶτοι ἱδρύσαντο, ὥσπερ εἴ τις λέγοι Ἀθηνᾶς βασκάνου.*

XVI. *Κῖοι τοὺς ἀποθανόντας κατακαύσαντες καὶ ὀστολογήσαντες ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτίσσουσιν, εἶτα*

XIV. 44, 41. cf. Strab. 10. p. 480 sq. ‖ 1. τοῦ et 3. ὁ ABrc., om. vulg. ‖ 2. ὅς intra versus A. ‖ 6. *Κρητικοῖς* A. ‖ *τούτων* A. ‖ 7. Odyss. 19, 178 sq. ‖ 8. *ὁ ἀριστεύς* Tr. ‖ 11. *ἀνυπόδητοι* B, *ἀνυπόδετοι* A, *ἀνυπόδυτοι* cett. ‖ *καταδύοντες* A pr. ‖ 12. *Κυδωνενιάτης* (*ι* supra *ει*) A. ‖ 13. *δυσσιτοῦσι* A. ‖ 14. *δώρων* Gesn. mg. Cor., *δῶρον* Dam.

XV. 38, 56. cf. Strab. 14. p. 653. ‖ 17. *τε* om. Cor. ‖ 18. *κατέχοντες* AB.

XVI. 123, 12. ‖ 22. *Κεῖοι* v. *Κιανοί* coni. Cor. ‖ 23. *καταπίσσουσιν* A.

ἐνθέντες εἰς πλοῖον καὶ κόσκινον λαβόντες ἀναπλέουσιν εἰς πέλαγος καὶ πρὸς τὸν ἄνεμον ἐξοδιάζουσιν, ἄχρις ἂν πάντα ἐκφυσηθῇ καὶ ἀφανῆ γένηται.

XVII. *Τριβαλλοὶ τέτταρας φάλαγγας ἐν ταῖς μάχαις ποιοῦνται, τὴν πρώτην τῶν ἀσθενῶν, τὴν ἐχομένην τῶν κρατίστων, τὴν τρίτην τῶν ἱππέων, τελευταίαν τὴν τῶν γυναικῶν, αἳ αὐτοὺς εἰς φυγὴν τρεπομένους κωλύουσι βλασφημοῦσαι.*

XVIII. *Καυσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι, τοὺς δὲ τελευτήσαντας μακαρίζουσιν.*

XIX. *Ταῦροι, Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκαταθάπτουσιν. ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου ἢ μέρος ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον, πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος.*

XX. *Σίνδοι τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ᾖ.*

XXI. *Σαυρομάται διὰ τριῶν ἡμερῶν σιτοῦνται εἰς πλήρωσιν. ταῖς δὲ γυναιξὶ πάντα πείθονται ὡς δεσποίναις. παρθένον δὲ οὐ πρότερον συνοικίζουσι πρὸς γάμον πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ.*

XXII. *Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἄοικοί [τέ] εἰσιν, ὥσπερ καὶ οἱ πλεῖστοι Σκυθῶν, τροφὴν δ' ἔχουσι*

XVII. 54, 40. ‖ 4. *Τριβαλοὶ* A. ‖ 5. *πρώτην*] *μίαν* Tr.

XVIII. 120, 24. cf. Herod. 5. 4, ubi *Τραυσοί*, ex quo *Τραυσιανοί* h. l. coni. Cor.

XIX. 123, 12. ‖ 14. *πρὸς* in lac. om. Voss, *δειπνίων* add. Arsen.

XX. 123, 12. ‖ 15. *ἰχθῦς*] *λίθους* coni. Clavier, probat Cor. ‖ 16. *ᾖν* Voss. Tr.

XXI. 44, 41. cf. Herod. 4, 17. ‖ 17. *ὀπτῶνται* coni. Valck. ‖ 19. *εἰς γ.* Dam.

XXII. 5, 73. cf. Herod. 4, 59 sqq Hippocr. 1. p. 84. Cor Strab. 7. p. 296 sqq. ‖ 21. *τε* om. Cor.

γάλα μόνον ἵππειον, ἐξ οὗ τυροποιοῦντες ἐσθίουσι καὶ πίνουσι, καί εἰσι διὰ τοῦτο δυσμαχώτατοι, σὺν αὐτοῖς πάντη τὴν τροφὴν ἔχοντες. οὗτοι καὶ Δαρεῖον ἐτρέψαντο. εἰσὶ δὲ καὶ δικαιότατοι, κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας, ὥστε τοὺς μὲν πρεσβυτέρους αὐτῶν πατέρας ὀνομάζειν, τοὺς δὲ νεωτέρους παῖδας, τοὺς δ' ἥλικας ἀδελφούς. ὧν ἦν καὶ Ἀνάχαρσις, εἷς τῶν ἑπτὰ σοφῶν νομισθείς, ὃς ἦλθεν εἰς τὴν Ἑλλάδα, ἵνα ἱστορήσῃ τὰ τῶν Ἑλλήνων νόμιμα. τούτων καὶ Ὅμηρος μέμνηται ἐν οἷς φησιν

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
Γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.

ἀβίους δ' αὐτοὺς λέγει ἢ διὰ τὸ γῆν μὴ γεωργεῖν ἢ διὰ τὸ ἀοίκους εἶναι ἢ διὰ τὸ χρῆσθαι τούτους μόνους τόξοις· βιὸν γὰρ λέγει τὸ τόξον. παρὰ τούτοις οὐδὲ εἷς οὔτε φθονῶν, ὥς φασιν, οὔτε μισῶν οὔτε φοβούμενος ἱστορήθη διὰ τὴν τοῦ βίου κοινότητα καὶ δικαιοσύνην. μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες ἢ οἱ ἄνδρες, καὶ συμπολεμοῦσιν αὐτοῖς ὅταν δέῃ, καὶ διὰ τοῦτο Ἀμαζόνας γενναιοτάτας εἶναι, ὥστε ποτὲ ἐλάσαι μέχρις Ἀθηνῶν καὶ Κιλικίας, ὅτι τούτων παρῴκουν ἐγγὺς τῆς Μαιώτιδος λίμνης.

XXIII. *Κολχοὶ τοὺς τελευτήσαντας οὐ θάπτουσιν, ἀλλὰ κρεμῶσιν ἀπὸ δένδρων.*

6. *νομίζειν* A Gesn. mg. ‖ *νεωτέρους* A, *νέους* cett. ‖ 9. *Ἑλλήνων* B, *ἄλλων* cett. ‖ Iliad 13, 5 sq. ‖ 11. *αἰανῶν ἱππομολγῶν γαλακτοφάγων τε δικαιοτάτων* Tr. ‖ 13. *Ἀβίους — τόξον* in mg. habet B rc., om. Tr., scholion redolent Gaisfordio. cf. Steph. B. s. v. *Ἄβιοι.* ‖ 14. *μὴ* ante *χρῆσθαι* inseri vult Toup. ‖ 20. *μέχρις* A, *μέχρι* cett. ‖ 21. *τούτων* AB rc., *τοῦτον* cett., *τότε* Gesn. Cor.

XXIII. 123, 12. cf. Ael. v. h. 4, 1. Apoll. Arg. 3, 202 sqq. ‖ 24. *κρεμνῶσιν* A. ‖ *ἐπὶ δ.* Ars. Voss. Gesn. mg.

XXIV. *Κερκέται τοὺς ἀδικήσαντας ὁτιοῦν τῶν ἱερῶν ἀπείργουσιν. ἐὰν δέ τις κυβερνῶν σκάφος διαμάρτῃ, προσιόντες ἐφεξῆς ἕκαστοι ἐμπτύουσιν αὐτῷ.*

XXV. *Μόσυνοι τὸν ἑαυτῶν βασιλέα τρέφουσιν ἐν πύργῳ κατάκλειστον. ἐὰν δέ τις δόξῃ κακῶς ποτε βεβουλεῦσθαι, τῷ λιμῷ αὐτὸν ἀποκτείνουσι. τὸν δὲ τρεφόμενον σῖτον ἐξ ἴσου διαιροῦσι μέρος κοινῇ ἐξελόντες τοῖς ἀφικνουμένοις ξένοις.*

XXVI. *Θύνοι τοὺς ναυαγοὺς φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται, τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας σφόδρα τιμῶσι, τοὺς δ' ἀκουσίως κολάζουσιν.*

XXVII. *Φρύγες ὅρκοις οὐ χρῶνται οὔτ' ὀμνύντες οὔτ' ἄλλους ἐξορκοῦντες. ἐὰν δέ τις παρ' αὐτοῖς γεωργικὸν βοῦν ἀποκτείνῃ ἢ σκεῦος τῶν περὶ γεωργίαν κλέψῃ, θανάτῳ ζημιοῦσι.*

XXVIII. *Φρύγες οὐ κατορύττουσι τοὺς ἱερεῖς τελευτήσαντας, ἀλλ' ἐπὶ λίθους δεκαπήχεας τιθέασιν ὀρθούς.*

XXIX. *Λύκιοι τὰς γυναῖκας μᾶλλον ἢ τοὺς ἄνδρας τιμῶσι καὶ καλοῦνται μητρόθεν, τάς τε κληρονομίας ταῖς θυγατράσι λείπουσιν, οὐ τοῖς υἱοῖς. ὃς δ' ἂν ἐλεύθερος*

XXIV. 44, 41. ‖ 1. *Κερκέται* Tr., *Καρκέται* cett. ‖ 2. *ἱερῶν* AB rc. Gesn. mg., *ἱερέων* cett.

XXV. 44, 41. cf. Apoll. Rhod. 2, 1015 sqq. ‖ 5. *τις*] *τι* coni. Cor. ‖ 6. *τὸν δὲ* et seqq. ad cap. sq. (XXVII) pertinere putant Cor. et Or.

XXVI. 37, 38. cf. Arsen. p. 291. *Θύννοι*. ‖ 9. *φιλανθρώπους* Tr. ‖ 10. *τῶν δὲ* et seqq. corrupta esse putat Cor., inverso ordine sic scribi vult Or. *τῶν δὲ ξένων τ. μ. ἀκουσίως —, τοὺς δ' ἑκουσίως κ.*

XXVII. 44, 41. ‖ 14. *τὸ περὶ* A.

XXVIII. 123, 12.

XXIX. 44, 41. cf. Herod. 1, 173. Heracl. Pont. fr. 15. Koehl. ‖ 18. *Κύνιοι* Dam.

ἁλῷ κλέπτων, δοῦλος γίνεται. τὰς δὲ μαρτυρίας ἐν ταῖς δίκαις οὐκ εὐθὺ παρέχονται, ἀλλὰ μετὰ μῆνα.

XXX. *Πισίδαι δειπνοῦντες ἀπάρχονται τοῖς γονεῦσιν, ὡς ἡμεῖς τοῖς θεοῖς παρασπονδίοις. ἡ δὲ μεγίστη κρίσις ἐστὶ παρακαταθήκης· τὸν δὲ ἀποστερήσαντα θανατοῦσιν. ἐὰν δὲ μοιχὸς ἁλῷ, περιάγεται τὴν πόλιν ἐπὶ ὄνου μετὰ γυναικὸς ἐπὶ ἡμέρας τακτάς.*

XXXI. *Ἀσσύριοι τὰς παρθένους ἐν ἀγορᾷ πωλοῦσι τοῖς θέλουσι συνοικεῖν, πρώτας μὲν τὰς εὐγενεστάτας καὶ καλλίστας, εἶτα τὰς λοιπὰς ἐφεξῆς· ὅταν δ' ἔλθωσιν ἐπὶ τὰς φαυλοτάτας, κηρύττουσι, πόσον τις θέλει προσλαβὼν ταύταις συνοικεῖν, καὶ τὸ συναχθὲν ἐκ τῆς τῶν εὐπρεπῶν τιμῆς ταύταις προστίθενται. ἀσκοῦσι δὲ μάλιστα εὐθύτητα καὶ ἀοργησίαν.*

XXXII. *Πέρσαι ὃ μὴ ποιεῖν ἔξεστιν οὐδὲ λέγουσιν. ἐὰν δέ τις πατέρα κτείνῃ, ὑποβλητὸν αὐτὸν οἴονται. ἐὰν δέ τινα προστάξῃ ὁ βασιλεὺς μαστιγῶσαι, εὐχαριστεῖ, ὡς ἀγαθοῦ τυχὼν ὅτι αὐτοῦ ἐμνήσθη ὁ βασιλεύς. ἆθλα δὲ λαμβάνουσι παρὰ τοῦ βασιλέως πολυτεκνίας. οἱ δὲ παῖδες παρ' αὐτοῖς ὥσπερ μάθημά τι τὸ ἀληθεύειν διδάσκονται.*

XXX. 44, 41. ‖ 4. *περισπονδίοις* coni. Or. ‖ 5. *περὶ παρακ.* B rc. ‖ *τὸν δὲ — τακτάς* om. A.

XXXI. 44, 41. cf. Herod. 1, 196. Ael. v. h. 4, 1. ‖ 12. *ταύταις* Dam. Tr., *ταύτας* cett. ‖ 13. *προστιθέασι* Arsen. qui om. reliqua. ‖ 14. *εὐθύτητα* AB rc., *βαθύτητα* cett., *βαρύτητα*, ut videtur, Gesn. et Cragius, qui vertunt *gravitatem*, *πραΰτητα* Cor. ‖ *τὴν ἀοργ.* A.

XXXII. 44, 41. cf. Herod. 1, 136. Strab. 15. p. 733. ‖ 15. *Πέρσαι* B, *Πέρσαις* vulg. ‖ 16. *τις ἀπ' αὐτῶν πατέρα* A, *αὐτῶν* B rc. ‖ 17. *ὁ β.* AB rc , *ὁ* om. cett. ‖ *τοῦ μαστ.* A. ‖ 19. *τοῦ β.* AB rc., *τοῦ* om. cett. ‖ 20. *μάθημά τι* ex corr. Cor., *μάθημα* Dam., *μαθήματα* vulg., *τινα μαθήματα* AB rc.

XXXIII. *Ἐν Βυάοις Λίβυσιν ἀνὴρ μὲν ἀνδρῶν βασιλεύει, γυνὴ δὲ γυναικῶν.*

XXXIV. *Μασουλιεῖς Λίβυες ὅταν πολεμῶσι, τὰς μὲν νύκτας μάχονται, τὰς δ' ἡμέρας εἰρήνην ἄγουσι.*

XXXV. *Δαψολίβυες ὅταν συναχθῶσι, πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ μετὰ δύσιν πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων κατασβέσαντες τὸν λύχνον εἰσέρχονται, καὶ ὁ τυχὼν ἣν ἂν τύχῃ λαμβάνει.*

XXXVI. *Μαχλυεῖς Λίβυες ὅταν πολλοὶ μνηστεύωνται γυναῖκα, παρὰ τῷ κηδεστῇ δειπνοῦσι παρούσης καὶ τῆς γυναικός, πολλὰ δὲ σκωπτόντων ἐφ' ᾧ ἂν ἡ γύνη γελάσῃ τούτῳ συνοικεῖ.*

XXXVII. *Σαρδολίβυες οὐδὲν κέκτηνται σκεῦος ἔξω κύλικος καὶ μαχαίρας.*

XXXVIII. *Ἀλιτέμνιοι Λίβυες τοὺς ταχυτάτους αὐτῶν αἱροῦνται βασιλεῖς, τῶν δ' ἄλλων τιμῶσι τὸν δικαιότατον.*

XXXIII. 44, 41. ‖ 1. *Βύκοις* Dam., *Ὑάλοις* AB rc., *Βυγαίοις* v. *Βοαίοις* v. *Βακάταις* coni. Or.

XXXIV. 44, 41. ‖ 3. *Μασουλιεῖς* corr. Vales., vulg. *Βασουλιεῖς*, Holst. *Μασσυλιεῖς*.

XXXV. 44, 41. cf. Arsen. viol. p. 214. ‖ 5. *Δαψολόβιοι* Dam. ‖ 6. *κατὰ δ.* Ars. ‖ 7. *κατασκεδάσαντες* A rc., *κατασκευάσαντες* Dam. ‖ 9. *τύχου* A, *ὀπυίῃ* coni. Valck.

XXXVI. 44, 41. ‖ 10. *Μαχλυεῖς* ex Herod. 4. 178, ubi est *Μάχλυες*, corr. Voss., vulg. *Ἰαλχλευεῖς*, ex Herod. 4, 191. *Μάξυες* Wessel. ‖ *μνηστεύωνται* A, *μνηστεύσωνται* cett. ‖ 12. *π. καὶ τῆς* A, *π. τῆς* cett.

XXXVII. 44, 41. ‖ 14. *Σαρδολίβυες* AB rc., *Σορδοὶ λίβυες* A pr., *Σορδολίβυες* vulg., *Παρδοὶ Λίβυες* Dam., *Σαλδολίβυες* coni. Cor. ‖ 15. *ἔξω*] *εἰ μὴ* ABrc. ‖ *κύλικας* B rc., *κύλιδος* Tr.

XXXVIII. 44, 41. ‖ 16. *Ἀλιτέμνιοι* A Dam. Gesn. mg., *Ἀλιτέμιοι* cett.

XXXIX. *Οἱ Νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις, ἀλλὰ ταῖς νυξὶν αὐτῶν ἀριθμοῦσι τὸν χρόνον.*

XL. *Ἀτάραντες Λίβυες ὀνόματα οὐκ ἔχουσιν. ἡλίῳ δὲ ἀνίσχοντι λοιδοροῦνται ὡς πολλὰ κακὰ φήναντι. τῶν δὲ θυγατέρων ἀρίστας κρίνουσι τὰς πλεῖστον χρόνον μεμενηκυίας παρθένους.*

XLI. *Πάνηβοι Λίβυες, ὅταν αὐτοῖς ὁ βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα κατορύττουσι, τὴν δὲ κεφαλὴν ἀποκόψαντες καὶ χρυσώσαντες ἀνατιθέασιν ἐν ἱερῷ.*

XLII. *Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς μάλιστα καταλείπουσιν οἱ βασιλεῖς οὐ τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ' ὁ διαδεξόμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα. ἀσκοῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην. ἄθυροι δ' αὐτῶν αἱ οἰκίαι, καὶ ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν οὐδὲ εἰς κλέπτει.*

XLIII. *Ἰνδοὶ συγκατακαίουσιν ὅταν τελευτήσωσι τῶν γυναικῶν τὴν προσφιλεστάτην. αὐτῶν δὲ ἐκείνων ἀγὼν μέγιστος γίγνεται, σπουδαζόντων νικῆσαι ἑκάστην τῶν φίλων. τὸ αὐτὸ καὶ Ἡρόδοτος ἐν πέμπτῃ ἱστοριῶν παρὰ Σκυθῶν τῶν ὕπερθεν Κρηστωναίων γίγνεσθαι λέγει.*

XXXIX. 44, 41.

XL. 44, 41. ‖ 3. *Ἀτάραντες* ex Herod. 4, 184, ubi olim *Ἄτλαντες* fuit, et Rhiano ap. Eust. ad Dion. v. 66. et Steph. Byz. v. *Ἄτλαντες* corr. Salm., vulg. *Ἀφάραντες*, AB rc. *Γαράμαντες*.

XLI. 123, 12.

XLII. 44, 41. cf. Herod. 3, 20. Strab. 17. p. 822. Arsen. p. 135. ‖ 10. *Αἰθίοπες — ἐκ πάντων* om. A. ‖ 12. *διαδεξόμενος* B rc., *διαδεξάμενος* vulg.

XLIII. 123, 12. cf. Strab. 15. p. 699. 714. Ael. v. h. 7, 18. ‖ 19. *ἑκάστη νικῆσαι* A. ‖ 20. *τὸ αὐτὸ — λέγει* om. Cor. ‖ Herod. 5, 5. ‖ 21. *Κριστωνίων* vulg.

XLIV. *Παρ' Ἰνδοῖς ἐάν τις ἀποστερηθῇ δανείου ἢ παρακαταθήκης, οὐκ ἔστι κρίσις, ἀλλ' αὐτὸν αἰτιᾶται ὁ πιστεύσας. ὁ δὲ τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν θανάτῳ ζημιοῦται. τὸν δὲ μέγιστα ἀδικήσαντα ὁ βασιλεὺς κελεύει κείρασθαι, ὡς ἐσχάτης οὔσης ταύτης ἀτιμίας.*

XLV. *Ἀρίτονοι τῶν ἐμψύχων οὐδὲν ἀποκτείνουσι. τὰ δὲ κεράμεια τῶν χρηστηρίων ἐν χρυσοῖς ἐλύτροις φυλάττουσι.*

XLVI. *Ἐν Παδαίοις, Ἰνδικῷ ἔθνει, οὐχ ὁ θύων, ἀλλ' ὁ συνετώτατος τῶν παρόντων κατάρχεται τῶν ἱερῶν. αἰτεῖται δ' ἀεὶ παρὰ τῶν θεῶν οὐδὲν ἄλλο πλὴν δικαιοσύνης.*

XLVII. *Πραῦσιοι τοὺς ἀστυγείτονας ἐὰν λιμῷ πιεσθῶσι τρέφουσι.*

NYMPHODORI.

I. *Νυμφόδωρος δ' ὁ Συρακούσιος ἐν τῷ περὶ τῶν ἐν Σικελίᾳ θαυμαζομένων ἐξ Ὑκκάρου φησὶ Σικελικοῦ φρουρίου εἶναι τὴν Λαΐδα.* Athen. XIII. p. 589. A.

XLIV. 44, 41. cf. Strab. 15. p. 709. Ael. v. h. 4, 1. ‖ 5. *ὡς λίαν ἐσχάτης* AB rc. ‖ *ταύτης*] *τῆς τοιαύτης* A.

XLV. 5, 50. ‖ 6. *Ἀρίστονοι* A, *Κρίτονοι* Dam. *Ἀριμασποὶ* voluerat Or., sed in suppl. recte statuit eum esse populum de quo Herod. 3, 100. *Ἀρρητῖνοι* coni. Cor. ‖ 7. *χρυσταρίων* coni. Vales.

XLVI. 9, 52. ‖ 9. *Παδαίοις* ex Herod. 3, 99 corr. Valck., vulg. *Παιδαλίοις*, A *πηδαλίοις*. Salm. coni. *Πανδαίοις*. ‖ 10. *ἀλλὰ* B Tr.

XLVII. 37, 38.

16. *Ὑκκάρων* Meurs.

II. *Νυμφόδωρος ἐν τῷ περὶ Σικελίας θαυμαζομένων φησίν, ὅτι ἀπ' Ἄκιδος Ἄκις ποταμὸς Σικελίᾳ ἐνῆν.* Schol. Theocr. idyll. 1, 69.

III. *Ἐν Σικελίᾳ Ἀδρανός ἐστι πόλις, ὥς λέγει Νυμφόδωρος, καὶ ἐν τῇ πόλει ταύτῃ Ἀδρανοῦ νεώς, ἐπιχωρίου δαίμονος· πάνυ δὲ καὶ ἐναργῆ φησιν εἶναι τοῦτον. καὶ τὰ ἄλλα μὲν ὅσα ὑπὲρ αὐτοῦ λέγει, καὶ ὅπως ἐμφανής ἐστι, καὶ ἐς τὸ τῶν δεομένων προχείρως εὐμενής τε ἅμα καὶ ἵλεως εἰσόμεθα· νῦν δὲ ἐκεῖνα εἰρήσεται. κύνες εἰσὶν ἱεροὶ καὶ οἵδε θεραπευτῆρες αὐτοῦ καὶ λατρεύοντές οἱ, ὑπεραίροντες τὸ κάλλος τοὺς Μολοττοὺς κύνας καὶ σὺν τούτῳ καὶ τὸ μέγεθος, χιλίων οὐ μείους τὸν ἀριθμόν. οὐκοῦν οὗτοι μεθ' ἡμέραν μὲν αἰκάλλουσί τε καὶ σαίνουσι τοὺς ἐς τὸν νεὼν καὶ τὸ ἄλσος παριόντας, εἴτε εἶεν ξένοι εἴτε ἐπιχώριοι, νύκτωρ δὲ τοὺς μεθύοντας ἤδη καὶ σφαλλομένους κατὰ τὴν ὁδὸν οἵδε πομπῶν δίκην καὶ ἡγεμόνων τε μάλα εὐγενῶς ἄγουσι, προηγούμενοι ἐς τὰ οἰκεῖα ἕκαστον. καὶ τῶν μὲν παροινούντων τιμωρίαν ἀρκοῦσαν εἰσπράττονται· ἐμπηδῶσι γὰρ καὶ τὴν ἐσθῆτα αὐτοῖς καταρρηγνύουσι, καὶ σωφρονίζουσιν ἐς τοσοῦτον αὐτούς, τούς γε μὴν πειρωμένους λωποδυτεῖν διασπῶσι πικρότατα.* Aelian. hist. anim. 11, 20.

1. *θαυμάζομεν — ὅτι Δάφνιδος — Σικελίας* vulg., corr. Ebert. ‖ 6. *δὲ καὶ* Med., *δὲ* vulg. ‖ 8. *ἐπιφανὴς* corr. Triller. ‖ *ἐς τοὺς δεομένους πρόχειρος* Par. Vat., *πλῆθος* deesse videtur Schneidero, ut *ἄλλοθι* vel *ὕστερον* (*αὖθις* Iac.) ad *εἰσόμεθα*, pro quo *ἐασόμεθα* coni. Iac. ‖ 9. *δὲ καὶ ἐ.* vulg. ‖ 10. *θεραπευταὶ αὐτῷ* Par. ‖ 17. *εὐμενῶς* corr. Iac. ‖ 21. *σωφρονίζουσιν* corr. Gesn., *σωφρονοῦσιν* codd.

PHILONIS.

I. *Φίλων ὁ Ἡρακλεώτης ἐν τῷ πρὸς Νύμφιν περὶ θαυμασίων ἐν Σκυθίᾳ φησὶν ὄνους γίγνεσθαι κέρατα ἔχοντας, ταῦτα δὲ τὰ κέρατα δύνασθαι τοῦτο τὸ ὕδωρ διαφέρειν. καὶ Ἀλεξάνδρῳ Μακεδόνι ἐνεχθῆναι ὑπὸ Σωπάτρου κέρας τοιοῦτον, ὃ καὶ ἀνατεθεῖναι ἐν Δελφοῖς, ἐφ' οὗ καὶ ἐπιγεγράφθαι·*

σοὶ τόδ' Ἀλέξανδρος Μακεδὼν κέρας ἄνθετο, Παιάν,
κάνθωνος Σκυθικοῦ χρῆμά τι δαιμόνιον,
ὃ Στυγὸς ἀχράντῳ Λουσηίδος οὐκ ἐδαμάσθη
ῥεύματι, βάσταξεν δ' ὕδατος ἠνορέην.

Stobaeus eclog. phys. 1. 52, 48. p. 1016 sq. H.

II. *Οἰνοχόου βασιλικοῦ, καὶ ἦν ὁ βασιλεὺς Νικομήδης ὁ Βιθυνῶν, ἀλεκτρυὼν ἠράσθη, Κένταυρος ὄνομα. καὶ λέγει Φίλων τοῦτο.* Aelian. hist. an. 12, 37.

PHILOSTEPHANI.

I. *Φιλοστέφανος δὲ ὁ Κυρηναῖος μὲν γένος, Καλλιμάχου δὲ γνώριμος, ἐν τῷ περὶ τῶν παραδόξων ποτα-*

1. Plin. h. n. 30, 16. Plut. Alex. c. 77. Paus. 8. 18, 6. Curt. 10, 10. Ael. h. an. 10, 40. Vitruv. 8, 3. ‖ *νύμφην* vulg., corr. Ions ‖ 2. *θαυμασίων ἐν Σκυθίᾳ*, vulg. ‖ 5. *Σωπάτρου*] *Antipatrum* vocant Plin. Plut. Vitr. ‖ 7. cf. Iacobs. anth. Pal. 2. p. 860. 3. p. 953. ‖ 8. *σχῆμα τὸ* Ael. ‖ 9. *ἀχράντου Λουσηΐδος* Ael.

μῶν ἐν Ἀόρνῳ φησὶ τῷ ποταμῷ διὰ Φενεοῦ ῥέοντι ἰχθῦς εἶναι φθεγγομένους ὁμοίως κίχλαις, καλεῖσθαι δ' αὐτοὺς ποικιλίας. Athen. 8. p. 331 D.

II. *Ἄκτιον — ὥς φησι Φιλοστέφανος, ἐστὶ Πανὸς ἱερὸν πλησίον Κράθιδος ποταμοῦ.* Schol. Theocr id. 5, 14.

III. *Ἀρετάν, ποταμὸς Κροτωνιάδος χώρας, παρὰ τὴν Ἀρέταν τὴν γυναῖκα Ἀλκίμου, ἧς περιρρεῖ τὸ μνῆμα, ὡς μαρτυρεῖ Φιλοστέφανος.* Etym. M. s. v. *Ἀρετάν.*

IV. *Φησὶ δὲ Φιλοστέφανος, ὑπὸ τῶν ἐγχωρίων τοῦτον τὸν χρόνον Ῥοδανὸν ὠνομάσθαι.* Schol. Dionys. perieg. v. 289.

V. *Τιτών, ποταμὸς Ἰταλίας ἐγγὺς Κιρκαίου, — ὁ δὲ Τιτὼν οὗτος ποταμὸς οὐκ εἰς θάλασσαν ῥέει, ἀλλ' ὑπὸ γῆς καταπίνεται, ὥς φησι καὶ Φιλοστέφανος.* Tzetz. ad Lycoph. v. 1276.

VI. *Καὶ Φιλοστέφανός φησιν ἕτερα μὲν μυρία,*
καὶ Σικελῇ γῇ ῥίπτουσαν λίμνην τοὺς λουομένους.
γαίῃ δ' ἐν Σικελῶν Τρινακρίδι χεῦμα δέδεικται
αἰνότατον λίμνη, καίπερ ἐοῦσ' ὀλίγη,
ἴσχυρον δίνῃσιν· ὃ πρὶν ποσὶ παῦρα τινάξῃς,
αἰφνιδίως ξηρὴν σ' ἤλασεν ἐς ψάμαθον
Tzetz. chil. 7, 144. v. 670 sqq.

7. *Ἀρέταν*] *Ἀρήτην* corr. Sylb. ‖ 8. *Ἀλκίνου* Sylb. ‖ 11. sc. *τὸν Ἠριδανόν.* ‖ 18. *Σικελὴν γῆν* vulg., corr. Höger. ‖ 20. Egregiam epigrammatis emendationem debeo God. Hermanno: libri 20. *λέλειπται,* 22. *λίμνη καὶ εἰ οὐκ ὀλίγη,* 23. *ἴχερον δίνῃς τῇσιν* (*χαίρει μὲν δίνῃσιν* coni. Kiessl.) *ὁ — τινάξας,* 24. *ἡ δ' ἰδίως ξηρὴν ἤλ.*

POLEMONIS.

Πολέμων ὁ περιηγητὴς ἐν τῷ περὶ θαυμασίων Ἀρχέστρατόν φησι τὸν μάντιν ἁλόντα ὑπὸ τῶν πολεμίων καὶ ἐπὶ ζυγὸν ἀναβληθέντα ὀβολοῦ ὁλκὴν εὑρεθῆναι ἔχοντα· οὕτως ἦν ἰσχνός. ὁ δ' αὐτὸς ἱστορεῖ, ὡς καὶ Πανάρετος ἰατρῷ μὲν οὐδὲν ὡμίλησεν, Ἀρκεσιλάου δὲ ἠκροᾶτο τοῦ φιλοσόφου, καὶ ὅτι συνεγένετο Πτολεμαίῳ τῷ Εὐεργέτῃ, τάλαντα δώδεκα τὸν ἐνιαυτὸν λαμβάνων. ἦν δὲ ἰσχνότατος, ἄνοσος διατελέσας. Athen. 12. p. 552. B.

Polemon vero in libro, qui inscribitur *περὶ τῶν ἐν Σικελίᾳ θαυμαζομένων ποταμῶν* sic ait: *οἱ δὲ Παλικοὶ προσαγορευόμενοι παρὰ τοῖς ἐγχωρίοις αὐτόχθονες θεοὶ νομίζονται. ὑπάρχουσι δὲ τούτων* [*δύο*] *ἀδελφοὶ κρατῆρες χαμαίζηλοι. προσιέναι δὲ ἁγιστεύοντας χρὴ πρὸς αὐτοὺς ἀπό τε παντὸς ἄγους καὶ συνουσίας, ἔτι δὲ καί τινων ἐδεσμάτων. φέρεται δὲ ἀπ' αὐτῶν ὀσμὴ βαρεῖα θείου καὶ τοῖς πλησίον ἱσταμένοις καρηβάρησιν ἐμποιοῦσα δεινήν. τὸ δὲ ὕδωρ ἐστὶ θολερὸν αὐτῶν καὶ τὴν χρόαν ὁμοιότατον χαμαιρύπῳ λευκῷ, φέρεται δὲ κολπούμενόν τε καὶ παφλάζον, οἷαί εἰσιν αἱ δῖναι τῶν ζεόντων ἀναβολάδην ὑδάτων. φασὶν δ' εἶναι καὶ τὸ βάθος ἀπέραντον τῶν κρατήρων τούτων, ὥστε καὶ βοῦς εἰσπεσόντας ἠφα-*

1. fr. 84. Pol. ed. Preller. cf. Eustath. p. 1288. Ael. var. hist. 10, 6. ‖ 9. fr. 83. Prell. Tractat idem G. Hermannus in diss. d. Aesch. Aetnaeis, 1837. p. 6 sq. ‖ 12. post *τούτων* vacuum spatium est in ed. Camer., asteriscum apponit Preller, *δύο* addit Herm. ‖ 14. *ἔτι δὲ καί τινων ἐδεσμάτων* Pr. ex ms. Thuani, *ἔν τε καινῶν ἐνδυμάτων* vulg., *ἔν τε καινῷ ἐνδύματι* Herm. ‖ 17. *αὐτῶν* om. Cam. Herm. ‖ 18. *χαμαὶ ῥύπῳ* Pr. ‖ 20. *φασὶ* Pr.

νίσθαι καὶ ζεῦγος ὀρικὸν ἐλαυνόμενον, ἔτι δὲ φορβάδας ἐναλλομένας. ὅρκος δέ ἐστι τοῖς Σικελιώταις μέγιστος καθηραμένων τῶν προκληθέντων· οἱ δὲ ὁρκωταὶ γραμμάτιον ἔχοντες ἀγορεύουσι τοῖς ὁρκουμένοις περὶ ὧν ἀπαιτήσουσι τὸν ὅρκον, ὁ δὲ ὁρκούμενος θαλλὸν κραδαίνων, ἐστεμμένος, ἄζωστος καὶ μονοχίτων, ἐφαπτόμενος τοῦ κρατῆρος ἐξ ὑποβολῆς δίεισι τὸν ὅρκον. καὶ ἂν μὲν ἐμπεδῶσι τοὺς ῥηθέντας ὅρκους, ἀσινὴς ἄπεισιν οἴκαδε, παραβάτης δὲ γενόμενος τῶν θεῶν ἐμποδὼν τελευτᾷ, τούτων δὲ γινομένων ἐγγυητὰς ὑπισχνοῦνται καταστήσειν τοῖς ἱερεῦσιν, ἐάν τι νεαρὸν γένηται κάθαρσιν ὀφλισκάνουσι, τοὺς περιγινομένους. περὶ δὲ τὸν τόπον τοῦτον ᾤκησαν Παλικῖνοι πόλιν ἐπώνυμον τούτων τῶν δαιμόνων Παλικήν. Macrob. Sat. 5, 19.

II. *Καλοῦνται δὲ οἱ κεστρεῖς ὑπό τινων πλῶτες, ὥς φησι Πολέμων ἐν τῷ περὶ τῶν ἐν Σικελίᾳ ποταμῶν. καὶ Ἐπίχαρμος δ' ἐν Μούσαις οὕτως αὐτοὺς ὀνομάζει·*

Αἰολίαι πλῶτές τε κυνόγλωσσοί τ', ἐνῆν δὲ σκιαθίδες.

Athen. 7. p. 307. B.

III. *Κηφισοῦ] νῦν τοῦ ἐν Ἀττικῇ μνημονεύει. ἔστι γὰρ καὶ ἕτερος ὁμώνυμος ἐν Βοιωτίᾳ. εἰσὶ δὲ καὶ ἕτεροι, καθά φησι Πολέμων ἐν τῷ περὶ ποταμῶν, γράφων οὕτως· ἐν Ἀθήνησί τε Κηφισσὸς καὶ ἐν Σικυῶνι καὶ ἐν Ἄργει* . . . . . . Schol. Eurip. Med. v. 827.

5. *τὴν ὅρκην* Cam. ‖ *ὁρκούμενον* Cam. ‖ 8. *ἐμπεδώσῃ* coni. Pr. ‖ 12. *τούτων* Cam. Herm. ‖ 13. *Παλικεινοὶ* Cam., *Παλικηνοὶ* Herm. ‖ *ἐνώνυμον* Cam. ‖ 14. *Παλικεινήν* Cam. ‖ 15. fragm. 82. Pr. ‖ 20. fr. 81. Pr. ‖ 24. supplet Strab. 9. p. 424.

SOTIONIS

ΤΩΝ ΣΠΟΡΑΔΗΝ ΠΕΡΙ ΠΟΤΑΜΩΝ ΚΑΙ ΚΡΗΝΩΝ ΚΑΙ ΛΙΜΝΩΝ ΠΑΡΑΔΟΞΟΛΟΓΟΥΜΕΝΩΝ.

I. *Κρήνη ἐν Ποτνίαις περὶ Θήβας, ἐξ ἧς οἱ ἵπποι πίνοντες μαίνονται, ὡς ἱστορεῖ Ἰσίγονος ἐν δευτέρῳ ἀπίστων.*

II. *Κρήνη ἐν Κλαζομεναῖς, ἀφ᾽ ἧς τὰ θρέμματα πίνοντα τὴν ἐρέαν χρωματίνην ποιεῖ, ὡς ἱστορεῖ ὁ προειρημένος Ἰσίγονος.*

III. *Κρήνη ἐν Ἰνδοῖς, ἣ τοὺς κολυμβῶντας ἐπὶ τὴν γῆν ἐκβάλλει ὡς ἀπ᾽ ὀργάνου, ὡς ἱστορεῖ Κτησίας.*

IV. *Ἐν Κρήτῃ ὀχετὸς ὕδατός ἐστιν, ὃν οἱ διαβαίνοντες ὕοντος τοῦ Διὸς ἄβροχοι διαβαίνουσιν ἐφ᾽ ὅσον ἐν τῷ ὀχετῷ εἰσιν.*

V. *Ἐν Πέρσαις φασὶν Ἀλεξάνδρῳ φανῆναι κρήνην ἐλαίου πληρουμένην αὐτομάτως.*

VI. *Παρὰ Κιλικίᾳ φασὶν ὕδατος εἶναί τι σύστημα, ἐν ᾧ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν ἀλόγων ζῴων ἐμβραχέντα ἀναζῆν.*

VII. *Ἐν τῇ ἐπὶ Συρακουσῶν ὁδῷ κρήνη οὐ μεγάλη ἐστὶν οὐδὲ ὕδωρ πολὺ ἔχουσα, ὄχλου δὲ ἐπελθόντος εἰς*

II. Vitruv. 8, 3.
III. Antig. Car. c. 150.
IV. Antig. Car. c. 163.
V. Athen. 2. p. 42. F.
VI. Mir. ausc. c. 29. ‖ 15. ἀλόγων] f. ἄλλων v. λοιπῶν.
VII. Mir. ausc. c. 56.

τὸν τόπον καὶ ψόφου γινομένου παρέχει ὕδωρ ἄφθονον, ὥς φησιν Ἀριστοτέλης.

VIII. *Κρήνη ἐν Παλικοῖς*, ἥτις εἰς ὕψος ἀναρρίπτει τὸ ὕδωρ πηχέων ἕξ, ἔμφασιν ποιοῦσα μέλλειν κατακλύζειν τοὺς ὑποκειμένους τόπους, καθόλου δὲ οὐχ ὑπερεκχεῖται οὐδέν. ἐπὶ ταύτης οἱ ἐπιχώριοι τοὺς ὑπὲρ τῶν μεγίστων ὅρκους ποιοῦνται, ὡς ἱστορεῖ Ἰσίγονος ἐν δευτέρῳ ἀπίστων.

IX. *Περὶ Σκότουσαν τῆς Θεσσαλίας* κρηνίδιόν ἐστι μικρόν, ὃ τὰ ἕλκη πάντα θεραπεύει καὶ τῶν ἀλόγων ζώων· εἰς ὃ ἐάν τις ξύλον μὴ λίαν συντρίψας, ἀλλὰ σχίσας ἐμβάλῃ, ἀποκαθίσταται· οὕτως κολλῶδες ἔχει τὸ ὕδωρ, ὥς φησιν Ἰσίγονος.

X. *Ἐν Λουσοῖς τῆς Ἀρκαδίας* φησὶν Ἀριστοτέλης κρήνην τινὰ εἶναι, ἐν ᾗ μῦς χερσαίους γίνεσθαι, καὶ τούτους κολυμβᾶν ἐν ἐκείνῃ τὴν δίαιταν ποιουμένους.

XI. *Φησὶν Ἰσίγονος ἐν Ἀθαμᾶσι* κρήνην εἶναι, ἧς τὸ μὲν ὕδωρ ψυχρὸν ὑπάρχειν, τὸ δ' ὑπὲρ αὐτὸ οὕτω θερμὸν ὑπάρχειν ὥστε, ἄν τις ὑπερθῇ φρύγανα, παραχρῆμα ἐξάπτεσθαι.

XII. *Παρὰ Κλειτορίοις* ὁ αὐτός φησιν εἶναι κρήνην, ἧς ὅταν τις τοῦ ὕδατος πίῃ, τοῦ οἴνου τὴν ὀσμὴν οὐ φέρει.

XIII. *Ὁ αὐτός φησιν ἐν Ἰταλίᾳ ἐν τῷ Ῥεατινῷ*

VIII. Mir. ausc. c. 57.

IX. Mir. ausc. c. 117. Antig. c. 142.

X. Mir. ausc. c. 125. Antig. c. 137.

XI. Antig. c. 148.

XII. Athen. 2. p. 43. E. Plin. h. n. 31, 2. Ovid. met. 15, 322. Steph. Byz. s. v. Ἀζανία. cf. c. XXIII.

XIII. Plin. h. n. 2, 103. *Neminie.*

ἀγρῷ κρήνην εἶναι Μέντην ὀνομαζομένην, ὁμοίαν τῇ προειρημένῃ.

XIV. Ὁμοίως ἐγγὺς Κόσης ἐστὶ κρήνη, εἰς ἣν ἐὰν θῇς κεράμιον οἴνου γέμον ὥστε ὑπερέχειν τὸ στόμα, παντὸς ὄξους εἶναι δριμύτερον παραχρῆμα, ὡς ἱστορεῖ ὁ αὐτός.

XV. Θεόπομπος ἱστορεῖ κρήνην ἐν Χρωψὶ τῆς Θράκης, ἐξ ἧς τοὺς λουσαμένους παραχρῆμα μεταλλάσσειν.

XVI. Ἑλλάνικός φησι περὶ Μαγνησίαν τὴν ἐπὶ Σιπύλου πηγὴν εἶναι, ἀφ' ἧς τοὺς πίνοντας κοιλίαν ἀπολιθοῦσθαι.

XVII. Κτησίας δὲ ἐν Αἰθιοπίᾳ κρήνην ἱστορεῖ τῷ χρώματι κιννάβαρι παραπλησίαν, τοὺς δὲ πίνοντας ἀπ' αὐτῆς παραλλάττειν τὴν διάνοιαν, ὥστε καὶ τὰ κρυφίως πεπραγμένα ὁμολογεῖν.

XVIII. Ἐν Ἀραβίᾳ ἐστὶν Ἴσιδος κρήνη, ἥτις κοτύλης οἴνου ἐμβληθείσης κιρνᾶται καὶ πρὸς τὴν πόσιν εὔκρατος γίνεται, ὥς φησιν Ἀμώμητος.

XIX. Ἀριστοτέλης Ἄμμωνος κρήνην εἶναί φησιν, ἧς τὸ ὕδωρ μεσημβρίας καὶ μεσονύκτου γίνεσθαι θερμόν, ὂν φύσει ψυχρότατον.

XX. Θεόπομπος ἐν Λυγκησταῖς φησι πηγὴν εἶναι τῇ μὲν γεύσει ὀξίζουσαν, τοὺς δὲ πίνοντας μεθύσκεσθαι ὡς ἀπὸ οἴνου.

XXI. Ἐν Συκαμίναις πόλει λίμνη ἐστίν, ἧς τῷ

XV. Mir. ausc. c. 121. Antig. c. 141. Vitruv. 8, 3. *Chrobsi.*
XVI. Hellan. fr. p. 156. Sturz.
XVII. Antig. c. 145.
XVIII. Antig. c. 149.
XIX. Antig. c. 144.
XX. Antig. c. 164. ‖ 21. *Λυγκήστῳ* vulg., *Λύγκῳ* s. *Λυγκησταῖς* Sylb.
XXI. cf. mir. ausc. c. 78.

ὕδατι οἱ λουσάμενοι ἢ πιόντες ἀπ' αὐτοῦ μαδῶσι τὰς τρίχας, τῶν δὲ ἀλόγων ζώων αἱ ὁπλαὶ ἀποπίπτουσιν, ὡς ἱστορεῖ Ἰσίγονος.

XXII. Ἡρακλείδης ὁ Ποντικὸς λίμνην ἐν Σαυρομάταις φησὶν εἶναι, περὶ ἣν τὰ πετασθέντα τῶν ὀρνέων εἰς αὐτὴν πίπτειν.

XXIII. Ἡρόδοτος ἐν Μακροβίοις Αἰθίοψι κρήνην ἱστορεῖ, ἀφ' ἧς τοὺς λουσαμένους λιπαίνεσθαι.

XXIV. Ἐν Κλειτορίοις δὲ τῆς Ἀρκαδίας κρήνην φασὶν εἶναι, ἀφ' ἧς τοὺς πίνοντας μισεῖν τὸν οἶνον, ἐπικεχαράχθαι δὲ ἐπ' αὐτῆς ἐπίγραμμα τοιόνδε·

ἀγρότα σὺν ποίμναις τὸ μεσαμβρινὸν ἤν σε βαρύνῃ
δίψος ἀν' ἐσχατιὰς Κλείτορος ἐρχόμενον,
τῆς μὲν ἀπὸ κρήνης ἄρυσαι πόμα καὶ παρὰ νύμφαις
ὑδριάσι στῆσον πᾶν τὸ σὸν αἰπόλιον·
ἀλλὰ σὺ μήτ' ἐπὶ λουτρὰ βαλῇς χροΐ, μή σε καὶ αὔρη
πημήνῃ τερπνῆς ἐντὸς ἐόντα μέθης.
φεῦγε δ' ἐμὴν πηγὴν μισάμπελον, ἔνθα Μελάμπους
ῥυσάμενος λύσσης Προιτίδας ἀργαλέης

XXII. Antig. c. 152.

XXIII. Herod. 3, 23.

XXIV. cf. c. XII. ‖ 12. epigr. repetit Vitruv. 8, 3. vid. Brunck. anth. 3. p. 190. Iacobs anth. Palat. 2. p. 791. 3. p. 915sq. cf. Magaz. f. Philol. 2, 123. ‖ μεσημβρινὸν Steph. Sylb. ‖ 17. νάμασι μήτ' ἐπὶ cod. Guelph, ναλλασιμητε πι cod. Franeq. ‖ χρόα Vitr. ibique Schneider, σὺ μή τι 'πὶ λ. β. χρόα Wakef., qui et antea correxerat: ἀλλὰ σὺ μὴ περὶ λουτρὰ βάλῃς χροΐ, μή σε παράντα πημήνῃ θερμῆς ἀντιόεντα μέθης. ‖ 18. τερπνῆς] θερμῆς Brunck. ‖ 20. ῥυσάμενος corr. Schaef. et Iac., αυσαμενος cod. Fran., λουσάμενος Steph. Sylb. Schneid., λυσάμενος v. παυσάμενος corr. Heringa. ‖ λύσσης] στῆσεν Schneid. ‖ ἀργαλέης Steph. Sylb. Brunck., αρτεμειας cod. Fran., ἀρτεμίας Schneid. Iac.

πάντα καθαρμὸν ἔβαψεν ἀπόκρυφον, εὖτ' ἄρ' ἀπ' Ἄργους,
οὔρεα τρηχείης ἤλυθεν Ἀρκαδίης.

XXV. Ἀρίστων δὲ ὁ περιπατητικὸς φιλόσοφος ἐν τῇ Κίῳ πηγήν φησιν ὕδατος εἶναι, ἀφ' ἧς τοὺς πίνοντας ἀναισθήτους γίνεσθαι ταῖς ψυχαῖς· εἶναι δὲ καὶ ἐπὶ ταύτης ἐπίγραμμα τοιόνδε·

ἡδεῖα ψυχροῖο ποτοῦ λιβὰς, ἣν ἀναβάλλει
πηγή, ἀλλὰ νόῳ πέτρος ὁ τῆσδε πιών.

XXVI. Ἐν δὲ Σούσοις τῆς Περσίδος ὕδωρ εἶναι λέγουσιν, ὃ τῶν πιόντων ἐκπίπτειν ποιεῖ παραχρῆμα τοὺς ἐμπροσθίους ὀδόντας. κεχάρακται δὲ καὶ ἐπὶ ταύτης τὸ ἐπίγραμμα τόδε·

ὕδατα ταῦτα βλέπεις φοβερά, ξένε, τῶν ἄπο χερσὶ
λουτρὰ μὲν ἀνθρώποις ἀβλαβῆ ἔστιν ἔχειν·
ἢν δὲ βάλῃς κοίλης ποτὶ νηδύος ἀγλαὸν ὕδωρ,
ἄκρα μόνον δολιχοῦ χείλεος ἀψάμενος,
αὐτῆμαρ πριστῆρες ἐπὶ χθονὶ δαιτὸς ὀδόντες
πίπτουσιν, γενύων ὀρφανὰ θέντες ἕδη.

XXVII. Ἐν δὲ Ἀλιφάνῳ τῆς Ἰταλίας φρεάτιόν

1. ἔβαψεν corr. Schaef. et Iac., ἔκοψεν vulg., πᾶν τὸ κάθαρμ' ἐνέκρυψεν ἀπόρρυτον Wakef. || εὖτ' ἄρ' — ἤλυθεν corr. Schaef. et Iac., αἱ γὰρ — ἤλυθον Steph. Sylb., εὖτ' ἂν — ἤλυθεν Vitr. Brunck. (qui et ἡνίκ' coni.), αἱ γὰρ — ἤλυθον Hering., ἢ γὰρ — ἤλυθεν Wakef. εὖτ' — Ἀρκαδίης om. cod. Fran.

XXV. Plin. h. n. 31, 2. (*Cea*) Vitruv. l. l. (*Chio*) || 7. Brunck. 3. p. 191. Iacobs 2. p. 818. 3. p. 930. || 8. ἡ ψυχροῦ πόματος λ. cod. Fran. et Schneid., ἡδεῖα τοι. ψ. πομ. λ. corr. Salm. || ἀναβάλλει vulg., ἀνίησι cod. Fran. et Iacobs. || 9. τῆσδε cod. Fr. Salm. Toup., qui et πηρὸς p. πέτρος.

XXVI. Vitruv. l. l. || 13. Brunck. 3. p. 191. Iacobs. 2. p. 874. 3. p. 961. || 14. ὕδατα κρυαέντα βλ. ξ. cod. Fran., κρυόεντα probat Wessel., κηραίνοντα corr. Brunck. et Iac., ὕδ. ταῦτα βλ. φοβερὰ ξ. Steph. Sylb.

ἐστι βαθύ, οὗ τὸ μὲν ὕδωρ βλέπεται, ἡλίκον δὲ ἄν τις χαλάσῃ σχοινίον, οὐκ ἐφάπτεται τοῦ ὕδατος, ἀλλ' ὑπό τινος θείου κωλύεται, ὥς φησιν Ἰσίγονος.

XXVIII. Ἀουερνός ἐστι λίμνη ἐν Ἰταλίᾳ παρὰ Κούμας, εἰς ἣν τὰ ἐκ τῆς περικειμένης ὕλης ἐμπίπτοντα φύλλα ἢ κάρφη ἀφανῆ γίνεται βυθιζόμενα παραχρῆμα.

XXIX. Ἀριστοτέλης ἱστορεῖ, κατὰ Καρχηδόνα κρήνην εἶναι ἐλαίου προσηνεστέραν· ἂν δὲ μή τις ἁγνὸς προσίῃ, ἐκλείπειν αὐτήν.

XXX. Περὶ Γέλαν τῆς Σικελίας ἐστὶ λίμνη ἡ Σίλλα καλουμένη, ἐλαχίστη τὸ μέγεθος, ἥτις τοὺς ἐν αὐτῇ λουομένους εἰς τὸ ξηρὸν ἐκρίπτει ὡς ἀπ' ὀργάνου τινός, ὥς φησιν Ἀριστοτέλης.

XXXI. Περὶ τὸν Ἠριδανὸν ποταμόν ἐστι λίμνη κατὰ τὰς Ἠλεκτρίδας νήσους, ὕδωρ ἔχουσα θερμόν, ὀσμὴν δὲ βαρεῖαν, ἀφ' ἧς οὐδὲν ζῶον γεύεται.

XXXII. Τὴν κατὰ Ἄβδηρα λίμνην Κύστειρον καλουμένην φασὶ τὸ Ξέρξου στράτευμα πίνον ἀναξηρᾶναι.

XXXIII. Ἱερώνυμος ἱστόρησεν, ἐν τῇ Ναβαταίων χώρᾳ τῶν Ἀράβων εἶναι λίμνην πικράν, ἐν ᾗ οὔτε ἰχθῦς οὔτε ἄλλο τι τῶν ἐνύδρων ζώων γίνεσθαι, ἀσφάλτου δὲ πλίνθους ἐξ αὐτῆς αἵρεσθαι ὑπὸ τῶν ἐπιχωρίων.

XXVIII. Mir. ausc. c. 102. Antig. c. 152. Contra Tzetz. ad Lyc. v. 704. *ἄλλοι δὲ τὴν Ἄορνον, Σωτίων τε καὶ Ἀγαθοσθένης καὶ Δίων καὶ οἱ λοιποὶ τῶν ἱστορικῶν, οὐ λίμνην οὐδὲ πέτραν φασί, στόμιον δέ τι περὶ τὴν Ἀδιαβηνήν, ὅπερ στόμιον ὄρνεον ὑπερπετᾶσθαι οὐ δύναται· ἀπὸ γὰρ τῆς ἐκεῖθεν ἀναφερομένης ἀναθυμιάσεως τελευτᾷ καὶ πᾶν ζῶον ἄλογον.*

XXIX. Mir. ausc. c. 113. Antig. c. 139.

XXX. Mir. ausc. c. 112. Philosteph. fr. 6.

XXXI. Mir. ausc. c. 81.

XXXII. Herod 7, 109. urbem vocat cuius nomen *Πίστυρος* (*Πίστιρος*, *Πίσουρος*, *Πίσυρος*).

XXXIII. Diod. Sic. 19, 98.

XXXIV. *Πύθερμός φησιν· ἐάν τις σκύφον εἰς τὰς τοῦ Στρύμονος ποταμοῦ δίνας ἐμβάλῃ, τοῦτον εὑρήσει ἐν τῇ περὶ Ἀπολλωνίαν λίμνῃ.*

XXXV. *Φαέθων φησί, τὸν ἐν Βοσπόρῳ ποταμὸν οὕτως εἶναι ψυχρόν, ὥστε μηδὲν τῶν ζώων ὑπομένειν αὐτοῦ τὴν ψυχρότητα.*

XXXVI. *Περὶ δὲ Ταρρακίναν τῆς Ἰταλίας φησὶν Ἰσίγονος λίμνην εἶναι Μυκλαίαν καλουμένην καὶ παρ' αὐτῇ πόλιν ἔρημον, ἧς τοὺς ἐνοικοῦντας στερηθῆναι τῆς πόλεως διὰ τὸ πλῆθος τῶν ὕδρων.*

XXXVII. *Ἐπὶ τῆς ἐν Ἰταλίᾳ λίμνης καλουμένης Βηνάκου, οὔσης δὲ τὸ περίμετρον σταδίων φ', νῆσός ἐστιν οἰκουμένη κατάφυτος δένδρεσιν ἡμέροις, ἐπινηχομένη καὶ μεταβαίνουσα πρὸς τὰς τῶν πνευμάτων φοράς. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν ἑτέρᾳ λίμνῃ τῆς Ἰταλίας Κουτυλίᾳ καλουμένῃ γίνεται.*

XXXVIII. *Ἔστι δὲ καὶ λάκκος Οὐαδίμωνος καλουμένη λίμνη οὐ μεγάλη ἐν Ἰταλίᾳ, ὁμοίως ἔχουσα νησία πλείονα πάσῃ πνοῇ μετακινούμενα.*

XXXIX. *Ἡ κατὰ Σάρδεις λίμνη, καλουμένη δὲ Κολόη, πλῆθος μὲν ὄψου πάμπολυ τρέφει, ἔχει δὲ καὶ αὐτὴ νήσους οἰκουμένας πρὸς ἀπάτην· ἐπινήχονται γὰρ καὶ τῇ τῶν ἀνέμων πνοῇ συμμετοικοῦσι· πτηνῶν δὲ τῶν ἐνύδρων τοσοῦτο τρέφει πλῆθος ὥστε καὶ ταριχεύεσθαι.*

XXXIV. 2. *εὑρήσειν*, aut *ὅτι* subaud. Sylb.
XXXVI. Plin. h. n. 8, 29. *Amyclas.*
XXXVII. Strab. 4. p. 209. Dionys. Hal. ant. rom. 1, 15. Plin. h. n. 2, 95. ‖ 12. *Βενβηνάκου* Steph. ‖ τὸ] τὴν Sylb. ‖ 13. *περινηχομένη* ex Dion. vult. Sylb.
XXXVIII. Plin. h. n. 2, 95. Plin. iun. epp. 8, 20. ‖ 17. *Λακκοσοΐα ἢ Ἄμμωνος* vulg., corr. Sylb.

XL. *Τὸ δὲ κατὰ τὴν Σουσιανὴν ὕδωρ φασὶν εἶναι Μηδείας καὶ πεφαρμάχθαι καυστικοῖς φαρμάκοις· ὃ ῥεῖ μὲν ἐκ πηγῆς τινος, φυλάσσεται δὲ ὑπὸ τῶν ἐπιχωρίων· ἔχει δὲ δύναμιν τοιαύτην· τὰ γὰρ χρισθέντα ἢ βραχέντα ἐξ αὐτοῦ ζῶα ἢ σκεύη δειχθέντος μακρόθεν πυρὸς πρὸς αὐτὰ ἐπισπᾶται καὶ παραχρῆμα καίεται. καλεῖται δὲ νάφθα, ἐξενεχθέντα μέντοι τῆς χώρας ἀπόλλυσι τὴν δύναμιν, ὡς ἱστορεῖ Ἰσίγονος.*

XLI. *Ἐν Ἰταλίᾳ λίμνη Σάκατος καλουμένη, ἧς ὅταν τὸ ὕδωρ διαυγὲς γένηται, καταφαίνονται ἐν τῷ βυθῷ θεμέλιοι πολλοὶ καὶ ναοὶ καὶ πλῆθος ἀνδριάντων· φασὶ δὲ οἱ ἐπιχώριοι, πόλιν ποτὲ οὖσαν καταποθῆναι. τὸ δ' αὐτὸ λέγεται καὶ περὶ τοῦ Κιμίνου λάκκου ἐν Ἰταλίᾳ ὡς πόλεως πρότερον οὔσης καὶ αἰφνιδίως καταποθείσης.*

XLII. *Ἡ ἐν Μακεδονίᾳ λίμνη καλεῖται μὲν Λύχνις, διαπλέουσι δὲ αὐτὴν ἱστορίας ἕνεκεν· ἐγκύπτοντες γὰρ εἰς τὸν βυθὸν ὁρῶσι τρικλίνους πολυτελεῖς καὶ ἀργυρωμάτων ἄφθονον πλῆθος τῷ μεγέθει θαυμασίων καὶ χρυσέων πινάκων τε καὶ ἐκπωμάτων καὶ πάντων τῶν ἐν βασιλικῷ πλούτῳ πρὸς τρυφὴν κατασκευασμάτων.*

XLIII. *Ἐν Λυδίᾳ ἐστὶ λίμνη Τάλα μὲν καλουμένη, ἱερὰ δὲ οὖσα νυμφῶν, ἣ φέρει καλάμων πλῆθος καὶ μέσον αὐτῶν ἕνα ὃν βασιλέα προσαγορεύουσιν οἱ ἐπιχώριοι. θυσίας δὲ καὶ ἑορτὰς ἐπιτελοῦντες ἐνιαυσίους ἐξι-*

XL. Plin. h. n. 2, 105.
XLI. 9. *Σαβάτα* (cf. Strab. 5. p. 226.) v. *Πάκατος* Sylb.
XLII. 18. *ἀφθόνων* vulg., corr. Sylb.
XLIII. Strab. 13. p. 626, ubi est *Κολόη*, cf. c. XXXIX. ‖ 22. *καλάμων*] f. *καλλιῶν*, id quod item Straboni reddendum videtur, ubi legitur: *φασὶ δ' ἐνταῦθα χορεύειν καλάθους κατὰ τὰς ἑορτάς*; post *χορεύειν* in edd. scribitur *πιθήκους*, quod ortum est ex verbi *καλάθους* explicatione; scribe *καλλίας*, sc. *καλλίας* i. q. *πίθηκος*.

λάσκονται· τούτων δὲ ἐπιτελουμένων, ἐπειδὰν ἐπὶ τῆς ἠιόνος κτύπος συμφωνίας γένηται, πάντες οἱ κάλαμοι χορεύουσι καὶ ὁ βασιλεὺς σὺν αὐτοῖς χορεύων παραγίνεται ἐπὶ τὴν ἠιόνα, οἱ δὲ ἐπιχώριοι ταινίαις αὐτὸν καταστέψαντες ἀποπέμπουσιν, εὐχόμενοι καὶ εἰς τὸ ἐπιὸν αὐτόν τε καὶ ἑαυτοὺς παραγενέσθαι ὡς εὐετηρίας ὄντι σημείῳ, ὡς ἱστορεῖ Ἰσίγονος ἐν δευτέρῳ ἀπίστων.

XLIV. *Κρᾶθις, ποταμὸς Ἰταλίας, τῶν λουομένων πυρσαίνων τὰς χαίτας, καθάπερ Ἰσίγονος ὁ ἱστορικός φησι, Σωτίων τε καὶ Ἀγαθοσθένης οἱ φιλόσοφοι, καὶ Εὐριπίδης ὁ τραγικὸς οὑτωσὶ λέγων·*

ἃν ὑγραίνει καλλιστεύων
ὁ ξανθὰν χαίταν πυρσαίνων
Κρᾶθις.

THEOPOMPI.

---

1. *Θεόπομπος ἐν τοῖς θαυμασίοις, κατασκευάζοντος αὐτοῦ τὸ τῶν νυμφῶν ἱερὸν ῥαγῆναι φωνὴν ἐξ οὐρανοῦ, »Ἐπιμενίδη, μὴ νυμφῶν, ἀλλὰ Διός.« Κρησί τε προειπεῖν τὴν Λακεδαιμονίων ἧτταν ὑπὸ Ἀρκάδων, καθάπερ προείρηται· καὶ δὴ καὶ ἐλήφθησαν πρὸς Ὀρχομενῷ. γη-*

2. *κάλαμοι*] f. *καλλίαι*. ‖ 6. *ὄν τι σημεῖον* Sylb.
XLIV. Verba sunt Tzetzae ad Lyc. v. 1021. cf. mir. ausc. c. 169. ‖ 8. *σικελίας* Vit. 2. 3. ‖ λ. *τὸ ὕδωρ αὐτοῦ πυρσ.* edd. ante Muell. ‖ 9. *καθάπερ* Vit. 3, cett. *καθά τε*. ‖ *Ἡσίγονος* Vit. 1.Ciz. edd., *Ἡσίοδος* Vit. 2. 3. ‖ 10. *φασι* Vit. 1. Ciz. ‖ 11. *τραγῳδὸς* Vit. 2. 3. ‖ 12. versus sunt Eurip. Troad. 227 sq. ‖ *ὂν* libri. ‖ 13. *ξανθὸς* Vit. 1. Ciz.

ῥᾶσαί τε ἐν τοσαύταις ἡμέραις αὐτὸν ὅσαπερ ἔτη κατεκοιμήθη. καὶ γὰρ τοῦτό φησι Θεόπομπος. Diog. Laert. 1. 10, 115.

II. [Φερεκύδης] Τοῦτόν φησι Θεόπομπος πρῶτον περὶ φύσεως καὶ θεῶν Ἕλλησι γράψαι. πολλὰ δὲ καὶ θαυμάσια λέγεται περὶ αὐτοῦ. καὶ γὰρ παρὰ τὸν αἰγιαλὸν τῆς Σάμου περιπατοῦντα καὶ ναῦν οὐριοδραμοῦσαν ἰδόντα εἰπεῖν, ὡς μετ' οὐ πολὺ καταδύσεται, καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ καταδῦναι. καὶ ἀνιμηθέντος ἐκ φρέατος ὕδατος πιόντα προειπεῖν, ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμός, καὶ γενέσθαι. ἀνιόντα τε εἰς Ὀλυμπίαν ἐς Μεσσήνην τῷ ξένῳ Περιλάῳ συμβουλεῦσαι μετοικῆσαι μετὰ τῶν οἰκείων, καὶ τὸν μὴ πεισθῆναι, Μεσσήνην δὲ ἑαλωκέναι. καὶ Λακεδαιμονίοις εἰπεῖν μήτε χρυσὸν τιμᾶν μήτε ἄργυρον, ὥς φησι Θεόπομπος ἐν τοῖς θαυμασίοις· προστάξαι δὲ αὐτῷ ὄναρ τοῦτο τὸν Ἡρακλέα, ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι Φερεκύδῃ πείθεσθαι. Diog. Laert. 1. 11, 116.

III. vid. Apollon. hist. mir. cap. 1.

IV. ibid. cap. 10.

5. *πολλὰ καὶ θαυμάσια δὲ* ed. Frob. || 7. *Σάμου*] *Ψάμμου* Frob., corr. Menag. || 9. *ἀναμηθέντος* Frob. || 11. *ἐξ Ὀλυμπίας* coni. Casaub. || 12. *μετοικίσαι* Frob., corr. Menag. || 13. *Μεσσήνη δὲ ἑάλω* Menag.

TROPHILI.

I. *Τὸ τῆς ἰκτίδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ φύσει τῶν λοιπῶν ζώων, ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν. φασὶ δὲ καὶ στραγγουρίας αὐτὸ φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις καὶ δίδοσθαι ἐπιξυόμενον.*

II. *Φασὶ τὸν γαλεώτην, ὅταν ἐκδυῇ τὸ δέρμα καθάπερ ὁ ὄφις, ἐπιστραφέντα καταπίνειν· τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιλήπτοις.*

III. *Φασὶ τὴν φώκην ἐξεμεῖν τὴν πιτύαν, ὅταν ἁλίσκηται· εἶναι δὲ φαρμακῶδες καὶ τοῖς ἐπιληπτικοῖς χρήσιμον.*

IV. *Ἐν Ἄργει φασὶ γίνεσθαι ἀκρίδος τι γένος, ἣν καλεῖσθαι σκορπιομάχον· ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ. ἀγαθὸν δέ φασιν εἶναι καὶ πρὸς τὰς πληγὰς τοῦ σκορπίου τὸ ἐπιφαγεῖν αὐτήν.* Stobaeus florileg. 100, 22—24.

I. Mir. ausc. c. 12.
II. Mir. ausc. c. 66.
III. Mir. ausc. c. 77.
IV. Mir. ausc. c. 139. ‖ 11. *γενέσθαι* A. ‖ *ἣν λέγεται* A.

APPENDIX.

ΦΛΕΓΟΝΤΟΣ ΤΡΑΛΛΙΑΝΟΥ

ΠΕΡΙ ΜΑΚΡΟΒΙΩΝ.

---

1. *Περὶ τῶν ἑκατὸν ἔτη ζησάντων. Οἱ ἑκατὸν ἔτη ζήσαντες Ἰταλῶν, ὡς ἐξ αὐτῶν τῶν ἀποτιμήσεων ἀναζητήσαντες οὐ παρέργως ἐμάθομεν. Λούκιος Κορνήλιος, Κορνίου υἱός, πόλεως Πλακεντίας. Λούκιος Γλαύκειος Οὐῆρος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Λούκιος Οὐετούστιος Σεκοῦνδος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Λούκιος Λικίννιος Πάλος, Λουκίου ἀπελεύθερος, πόλεως Πλακεντίας. Λούκιος Ἀκίλλιος Μάρκελλος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Λούκιος Οὐέττιος, Μάρκου υἱός, [πόλεως] Βριξέλλων. Λούκιος Κουσσώννιος, Λουκίου υἱός, πόλεως Κορνηλίας. Λούκιος Γαμίνιος, Λουκίου υἱός, πόλεως Βελείας. Γάϊος Πορτήσιος Φρόντων, Σέξτου υἱός, πόλεως Βονωνίας. Γάϊος Νώνιος Μάξιμος, Ποπλίου υἱός, πόλεως Βριξέλλων. Γάϊος Ἀμούριος Τέλρων, Γαΐου υἱός, πόλεως Κορνηλίας. Γάϊος Καστοπούδης, Τιτίου υἱός, πόλεως Πάρμης. Γάϊος Οὐάτιος Τέρτιος, Σπορίου υἱός, πόλεως Πλακεντίας. Γάϊος Ἰούλιος Πόθος, πόλεως Ῥαβέννης. Γάϊος Οὐαλέριος Πρῖμος,*

5. Λουκίου υἱός] Λούκιος Xyl. Meurs. ‖ 10. Κουσσώνιος Franz.

Κοΐντου υἱός, πόλεως Βελείας. Καισελλίας Κῦρος, πόλεως Πλακεντίας. Κατία, Γαΐου θυγάτηρ, πόλεως Φαουεντίας. Πόπλιος Φούλβιος Φρύξ, Λουκίου ἀπελεύθερος, πόλεως Πολλισίας. Πόπλιος Νέβιος, Λουκίου υἱός, πόλεως Βασιλείας. Πόπλιος Δεκέννιος Δημοσθένης, Ποπλίου ἀπελεύθερος, πόλεως Ἀριμίνου. Πετρωνία Κοΐντου, Λουκίου ἀπελευθέρα, πόλεως Πλακεντίας. Πόλλεια Πῶλλα, Σπουρίου θυγάτηρ, πόλεως Αἰτωσίας. Μάρκος Οὐιλώνιος Σευῆρος, πόλεως Οὐελείας. Μάρκος Τερέντιος Ἄλβιος, Μάρκου ἀπελεύθερος, πόλεως Πλακεντίας. Μάρκος Ἀντώνιος, Λουκίου υἱός, πόλεως Πλακεντίας. Μάρκος Τάλπιος Οὐιταλίς, Μάρκου υἱός, πόλεως Πλακεντίας. Μάρκος Ἀκκέλιος, Μάρκου υἱός, πόλεως Βονωνίας. Μάρκος Νιρέλλιος, Γαΐου υἱός, πόλεως Πάρμης. Τίτος Οὐίβιος Θάλβιος, Σπορίου υἱός, πόλεως Πάρμης. Τίτος Αἰμίλιος, Κοΐντου υἱός, πόλεως Ῥηγίας. Τίτος Οὐετεράνιος, Ποπλίου υἱός, πόλεως Βονωνίας. Τίτος Νουμέριος, Τίτου υἱός, πόλεως Πλακεντίας. Τίτος Σερούιος Σεκοῦνδος, Τίτου υἱός, πόλεως Βονωνίας. Τίτος Πετρώνιος, Σπορίου υἱός, πόλεως Πλακεντίας. Τίτος Ἀντώνιος, Μάρκου υἱός, πόλεως Ῥηγίου. Τίτος Ἐρούσιος Πολλίων, Γαΐου υἱός, πόλεως Βονωνίας. Τίτος Καμόριος Τέρτιος, Τίτου υἱός, πόλεως Φειδεντίας. Τουρέλλη Φόρησις, Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας. Κούιντος Κάσσιος Ῥοῦφος, Κουίντου υἱός, πόλεως Ῥηγίου. Κούιντος Λουκρίτιος Πρίμος, Κοΐντου υἱός, πόλεως Ῥηγίου. Κούιντος Οὐέλιος, Ποπλίου υἱός, πόλεως Βελίας.

1. *Καισιλλίας* Xyl. ‖ 5. *Δεκίμιος* Xyl. ‖ 6. *Ἀριμήνου* Xyl. ‖ 9. *Οὐελείας* Xyl., *Οὐελίας* Meurs., qui in vers. *Veleia*, *Οὐελίας* Franz. ‖ 15. *Σπορίου*] *Σοιρίου* vulg. ‖ 16. f. *Ῥηγίου*. ‖ 19 *Τήιος* et 20. *Πορίου* edd., corr. Meurs. Xyl. in vers. *T. Petronius Sp. f.* ‖ 21. *Ἐρούκιος* coni. Meurs. ‖ 23. *Τουρελληφόρησις* Xyl.

Ἀντωνία Σεκούνδα, Ποπλίου θυγάτηρ, πόλεως Βελίας. Ἀλβατία Σαβίνα, πόλεως Πάρμης. Σαλουία Οὐάρηνα, Ποπλίου θυγάτηρ, πόλεως Βασιλείας. Βεβία Μαρκέλλα, Σέξτου θυγάτηρ, πόλεως Ὀρτισίας. Βασκία Ἀστικόσου, Μακεδὼν ἀπὸ Φιλίππων. Βόνζης Τόνου, Παροικοπολίτης, Μακεδών. Φρόντων Ἀλβουτίου, Μακεδὼν ἀπὸ Φιλίππων. Σάρκη Σκίλα, Μακέτις, Ἀμφιπολῖτις. Αἰδέσιος Δίζα, Παροικοπόλεως, Μακεδών. Βίθυς Διζάστου, Παροικοπόλεως τῆς Μακεδόνων. Ζαικεδένθης Μουκάσου, Παροικοπολίτης, Μακεδών. Μάντις Καιπροίζου, Μακεδών, ἐξ Ἀμφιπόλεως. Ἀλέξανδρος Δημητρίου, Τιανὸς ἀπὸ Πόντου καὶ Βιθυνίας. Γάζα Τίμωνος, Τιανὴ ἀπὸ Πόντου καὶ Βιθυνίας. Χρήστη Ἀντιπάτρου, Τιανή. Χρυσίον Θεοφίλου, Τιανή. Ἱέρων Ἱέρωνος, Τιανός. Μούζακος Μουκαντίου, Νικομηδεὺς Βιθυνίας. Λούκιος Φιδικλάνιος Νέπως, Σινωπεύς. Ἀλούκιος Ἀπιλιούτας, ἀπὸ Λουσιτανίας πόλεως Ἰντερανιησίας. Ἄμβατος, Δοκουρίου υἱός, τῆς αὐτῆς πόλεως. Κάμαλος, Καντολγουνίου υἱός, τῆς αὐτῆς πόλεως. Κέλτιος, Πελλίου υἱός, πόλεως Ἀπειλοκαρίου. Ἀρρούντιος, Ἀππίου υἱός, πόλεως Κονιμβριγησίας. Τάμφιος, Κελτίου υἱός, πόλεως τῆς αὐτῆς. Δοκούριος, Ἀλουκκίου υἱός, πόλεως Αἰβουροβισυγγησίας.

11. *Οἱ ἀπὸ ἑκατὸν τεσσάρων ἐτῶν μέχρι ἑκατὸν δέκα ἀπογραψάμενοι. Γάϊος Ληλήδιος Πρῖμος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κλωδία Ποτέστα, Γαΐου ἀπελευθέρα, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕν. Κουσινία Μόσχος, Γαΐου ἀπελευθέρα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Κερεωνία Οὐερηκούνδα, Ποπλίου ἀπελευθέρα,*

2. *Πάργης* Xyl. ‖ 5. *Βόνζηστόνου παροίκου Πόλτης* vulg., corr. Meurs. ‖ 7. *Σάρκης Κιλαμανῖτις* vulg., corr. Meurs. ‖ 8. *Βιθυοδιζάστου* vulg., corr. Meurs. ‖ 10. *καὶ Προίζου* vulg., corr. Meurs.

πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕν. Λιουία Ἀττική, Ποπλίου ἀπελευθέρα, πόλεως Πάρμης, ἔτη ἑκατὸν ἕν. Βουρία Λυχναινίς, πόλεως Πάρμης, ἔτη ἑκατὸν ἕν. Γάϊος Σάμφιος, Γαΐου υἱός, πόλεως Βελείας, ἔτη ἑκατὸν δύο. Κούϊντος Κορνήλιος, Κουίντου υἱός, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δύο. Τίτος Ἀντώνιος, Τίτου υἱός, πόλεως Πάρμης, ἔτη ἑκατὸν δύο. Κοκχανία Μοῦσα, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν τρία. Δημόκριτος Ἀβδηρίτης ἔτη ἑκατὸν τέσσαρα· ἐτελεύτησεν δὲ τροφῆς ἀποσχόμενος. Κτησίβιος ὁ ἱστοριογράφος ἔτη ἑκατὸν τέσσαρα· ἐν περιπάτῳ δὲ ἐτελεύτα, ὡς Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς δεδήλωκεν. Ἱερώνυμος ὁ συγγραφεὺς πολλοὺς μὲν χρόνους ἐν ταῖς στρατείαις ἀνατλήσας, πλείστοις δὲ τραύμασιν ἐν πολέμοις περιπεσὼν ἐτελεύτησεν βιώσας ἔτη ἑκατὸν τέσσαρα, ὥς φησιν Ἀγαθαρχίδης ἐν τῇ ἐννάτῃ τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν. Γάϊος Λαλλίας Τιωναῖος, Λουκίου υἱός, πόλεως Βιωνίας, ἔτη ἑκατὸν πέντε. Πόπλιος Κουισέντιος Σφυρίων, Ποπλίου ἀπελεύθερος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν πέντε. Τίτος Κοττίνας Χρύσαντος, Τίτου ἀπελεύθερος, πόλεως Φαουεντίας, ἔτη ἑκατὸν πέντε. Μάρκος Πομώνιος Σεβῆρος, Μάρκου υἱός, πόλεως Ταννητάνης, ἔτη ἑκατὸν πέντε. Σέξτος Νέβιος, Σέξτου υἱός, πόλεως Πάρμης, ἔτη ἑκατὸν πέντε. Λούκιος Αἴλιος Δωρόθεος, Λουκίου ἀπελεύθερος, πόλεως Βονωνίας, ἔτη ἑκατὸν ἕξ. Γάϊος Πομπούσιος Μοντιανός, Ποπλίου υἱός, ἔτη ἑκατὸν ἑπτά. Πόλλα Δωνάτα, Σέξτου θυγάτηρ, πόλεως Βονωνίας, ἔτη ἑκατὸν δέκα. Μουναντία Προκούλα, Λουκίου θυγάτηρ, πόλεως Ῥηγίου, ἔτη ἑκατὸν δέκα.

16. *Τιωναῖνος* Xyl. ‖ 17. f. *Βονωνίας*. ‖ 23. *Παρμίας* Xyl.

III. *Οἱ ἀπὸ ἑκατὸν δέκα ἐτῶν μέχρι ἑκατὸν εἴκοσι ἀπογραψάμενοι.* Τίτος Πουρέννιος Τοῦτος, Λουκίου υἱός, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν ἕνδεκα. Λούκιος Ἀντίστιχος Σωτήριχος, Λουκίου ἀπελεύθερος, πόλεως Ῥαβέννης, ἔτη ἑκατὸν δέκα τρία. Λούκιος Πέτρου, πόλεως Κορνηλίας, ἔτη ἑκατὸν δέκα τέσσαρα. Ἰουλία Μοδεστίνα, πόλεως Κορσιόλων, Πριμοπιλαρίου ἀπελευθέρα, καθ' ἡμᾶς ἔτι οὖσα, πόλεως Βριξέλλων, ἔτη ἑκατὸν εἴκοσι.

IV. *Οἱ ἀπὸ ρλ' ἐτῶν μέχρι ρμ' ἀπογραψάμενοι.* Λούκιος Τερέντιος, πόλεως Βονωνίας, ἔτη ρλϛ. Φαῦστος, Καίσαρος δοῦλος, ἐκ Σαβίνων, ἀπὸ Πραιτωρίου Παλλαντιανοῦ, ἔτη ρλϛ', ὃν καὶ αὐτὸς ἐθεασάμην Ἀδριανῷ τῷ Καίσαρι ἐπιδειχθέντα. * Ἀργανθώνιος, ὁ τῶν Ταρτησσίων βασιλεύς, ὡς ἱστορεῖ Ἡρόδοτος, καὶ Ἀνακρέων ὁ ποιητὴς ἔτη ρν'. Σίβυλλα ἡ Ἐρυθραία ἐβίωσεν ἔτη ὀλίγον ἀποδέοντα τῶν χιλίων, ὡς αὐτή φησιν ἐν τοῖς χρησμοῖς τόνδε τὸν τρόπον·

ἀλλὰ τί δὴ πανόδυρτος ἐπ' ἀλλοτρίοισι πάθεσσι
θέσφατα φοιβάζω, λυσσώδεα μοῖραν ἔχουσα,
οἴστρου δὲ σφετέρου καταγεύομαι ἀλγινόεντος.
ἐννεαομεν ἀεὶ χαλεπὸν κατὰ γῆρας ἔχουσα,
μαινομένη μὲν ἐνὶ θνητοῖς καὶ ἄπιστα λέγουσα,

1. ἀπὸ τῶν ἑ. vulg. ‖ 10. τερέτιος cod., *Τερέντιος* coni. Bast., *Τέρτιος* Meurs. ‖ μονωνίας cod. et Xyl. ‖ 13. Post ἐπιδειχθέντα, si vera est capitis inscriptio et verus numerus ρν' v. 15, novum caput incipit, quo pertinent etiam quae habet de Epimenide Diog. Laert. 1, 10, 111. *καὶ ἐπανελθὼν ἐπ' οἶκον μετ' οὐ πολὺ μετήλλαξεν, ὥς φησι Φλέγων ἐν τῷ περὶ μακροβίων, βιοὺς ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατόν, ὡς δὲ Κρῆτες λέγουσιν, ἑνὸς δέοντος τριακόσια, ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησί, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν.* ‖ *Ταρτησσίων* Xyl. ‖ 14. Her. 1, 163. ‖ 17. τὸν om. Meurs. ‖ 21. ἐννεαομεν] ἐκ νεαρῶν coni. Xyl., ἐν δεκάτῃ γενεῇ Salm., ἐννέα μὲν γενεαῖς Is. Voss.

πάντα δ' ὑπὲρ προϊδοῦσα βροτῶν δυσανάσχετα κήδη.
καὶ τότε μοι φθονέσας Λητοῦς ἐρικυδέος υἱὸς
μαντοσύνης, παθέων δὲ κατοικήσας ὀλοὸν κῆρ,
ψυχὴν ἐκλύσει δεσμευομένην ἐνὶ λυγρῷ
σώματι, σαρκοτυπῆ διοϊστεύσας γεγαυῖαν.
ἔνθ' ἄρα μοι ψυχὴ μὲν ἐς ἠέρα πιστευθεῖσα,
πνεύματι συγκραθεῖσα βροτῶν εἰς οὔατα πέμψει
κληδόνας ἐν πυκινοῖς αἰνίγμασι συμπλεχθείσας·
σῶμα δ' ἀεικελίως ἄταφον πρὸς μητέρος αἴης
κείσεται· οὐ γάρ τις θνητῶν ἐπὶ γαῖαν ἀμήσει,
οὐδὲ τάφῳ κρύψει· κατὰ γὰρ χθονὸς εὐρυοδείης
δύσεται αἷμα μέλαν τερσαινομένοιο χρόνοιο.
ἔνθεν δὴ πολλῆς ἀναδύσεται ἔρνεα ποίης,
ἣ καταβοσκομένων μήλων εἰς ἤπατα δῦσα
ἀθανάτων δείξει βουλεύματα μαντοσύνῃσι.
σαρκῶν δ' ὄρνιθες πτεροείμονες αἴκε πάσωνται,
μαντοσύνην θνητοῖσιν ἀληθέα ποιπνύσουσι.

διὰ τούτου τοῦ χρησμοῦ ἀποδείκνυται, δέκα γενεὰς αὐτὴν κατ' ἀνθρώπους γεγονέναι, καὶ μετὰ τὴν ἀναχώρησιν τὴν ἐκ τοῦ ζῆν, τῆς μὲν ψυχῆς κατὰ τὸν ἀέρα φερομένης καὶ προσπιπτούσης τοῖς ὑπὸ τῶν ἀνθρώπων λαλουμένοις, παρασκευάσειν τὰς γινομένας κληδόνας διὰ τῶν λόγων, τοῦ δὲ σώματος ἀτάφου γενομένου τὰ μὲν ὄρνεα τῶν σαρκῶν φαγόντα τὴν διὰ τῆς ὀρνιθοσκοπίας μαντείαν διασημαίνειν, τοῦ δὲ ὑπολοίπου μέρους εἰς τὴν γῆν σαπέντος καὶ τὰ κτήνη φαγόντα τῆς ἐκ τῆς γῆς φυομένης πόας τὴν ἠπατοσκοπικὴν εἰς τὸν βίον εἰσάξειν τέχνην.

5. σαρκοτύπῳδι διϊστεύσας γεγαῶν vulg., corr. Salm. et Voss. ‖ 6. πιστηθεῖσα vulg. ‖ 16. πτεροείμονες corr. Bast., πτετροείμονες cod., πετροδείμονες Xyl. Meurs., πετροδύμονες Schneid. ‖ 17. ποιπνύουσι Xyl. ‖ 21. τοὺς — λαλουμένους vulg.

τὴν δὲ γενεὰν Σίβυλλα ἱστορεῖ ἐτῶν ἑκατὸν δέκα ἐν τῷ χρησμῷ τῷ πρὸς Ῥωμαίους περὶ τῶν αἰωνίων θεωριῶν, ἃ Ῥωμαῖοι σεκουλάρια καλοῦσι. τῶν γὰρ συμμάχων αὐτῶν καὶ κοινωνῶν μὴ ἐμμενόντων ταῖς συνθήκαις, ἀλλὰ πυκνὰ μεταβαλλομένων καὶ πολεμούντων αὐτοῖς, ἡ Σίβυλλα ἐχρησμῴδησεν, ἐπιτελεσθεισῶν τῶν θεωριῶν τούτων ὑποταγήσεσθαι τοὺς ἀφεστῶτας Λατίνους. εἰσὶν δὲ οἱ χρησμοὶ οἵδε·

ἀλλ' ὁπόταν μήκιστος ἵκῃ χρόνος ἀνθρώποισι
ζωῆς, εἰς ἐτέων ἑκατὸν δέκα κύκλον ὁδεύσας,
μεμνῆσθαι, Ῥωμαῖε, καὶ εἰ μάλα λήσει ἑαυτοῦ,
μεμνῆσθαι τάδε πάντα, θεοῖσι μὲν ἀθανάτοισι
ῥέξειν ἐν πεδίῳ παρὰ Θύβριδος ἄπλετον ὕδωρ,
ὅππῃ στεινότατον, νὺξ ἡνίκα γαῖαν ἐπέλθῃ
ἠελίου κρύψαντος ἑὸν φάος· ἔνθα σὺ ῥέξειν
ἱερὰ παντογόνοις Μοίραις ἄρνας τε καὶ αἶγας,
κυανέας δ' ἐπὶ ταῖσδ' Εἰλειθυίας ἀρέσασθαι
παιδοτόκους θυέεσσιν, ὅπῃ θέμις. αὖθι δὲ γαίῃ
πληθομένῃ χοίροις ὗς ἱρεύοιτο μέλαινα.
πάνλευκοι ταῦροι δὲ Διὸς παρὰ βωμὸν ἀγέσθων
ἤματι, μηδέ τε νυκτί· θεοῖσι γὰρ οὐρανίδαισιν
ἡμέριος πέλεται θυέων τρόπος, ὣς δὲ καὶ αὐτοῖς
ἱρεύειν. δαμάλης δὲ βοὸς δέμας ἀγλαὸν Ἥρης
δεξάσθω νηὸς παρὰ σεῦ. καὶ Φοῖβος Ἀπόλλων,

2. θεωριῶν] vulg. θεῶν. ‖ 8. Oraculum hoc habet etiam Zosim. hist. 2, 6. ‖ 9. ἵῃ Salm. ‖ 10. ἑκατοντάδα Salm. ‖ ὀθείων Zos. ‖ 11. οὐ μάλα λῆσαι ἑαυτούς Zos., οὐ μάλα λήσεαι αὐτός coni. Mitscherl., οὐ μάλα λήσεαι αὐτῶν Bekk. ‖ 13. ῥέζειν et Θύμβριδος Zos. ‖ 16. παντογόνοις Zos. ‖ 17. δ' om. Zos., αἶγας κυανέας, ἐπὶ ταῖς δ' Mitsch. ‖ 19. πληθογένῃ mend. typ. Meurs. ‖ ἱερεύοιτο cod., ἱερεύοιτο edd. Zosimus: πλ. χοῖρός τε καὶ ὗς ἱεροῖτο μ. ‖ 20. ζάλευκοι Zos. ‖ 21. μηδ' ἐπὶ ν. et οὐρανίοισι Zos. ‖ 22. ὧς cod., ὡς edd. ‖ αὔτως Zos. ‖ 23. ἱερεύειν δάμαλις Xyl. Meurs., δαμάλης corr. Mitsch.

ὅστε καὶ ἠέλιος κικλήσκεται, ἶσα δεδέχθω
θύματα Λητοΐδης, καὶ ἀειδόμενοί τε Λατῖνοι
παιᾶνες, κούροις κούρῃσί τε νηὸν ἔχοιεν
ἀθανάτων. χωρὶς δὲ κόραι χόρον αὖται ἔχοιεν,
καὶ χωρὶς παίδων ἄρσην στάχυς, ἀλλὰ γονήων
πάντων ζωόντων, οἷς ἀμφιθαλὴς ἔτι φύτλη.
αἱ δὲ γάμου ζεύγλαισι δεδμημέναι ἤματι κείνῳ
γνὺξ Ἥρης παρὰ βωμὸν ἀοίδιμον ἑδριόωσαι
δαίμονα λισσέσθωσαν, ἅπασι δὲ λύματα δοῦναι
ἀνδράσιν ἠδὲ γυναιξί, μάλιστα δὲ θηλυτέραισιν.
πάντες δ' ἐξ οἴκοιο φερέσθων ὅσσα κομίζειν
ἐστὶ θέμις θνητοῖσιν ἀπαρχομένοις βιότοιο,
δαίμοσι μειλιχίοισιν ἱλάσματα καὶ μακάρεσσιν
Οὐρανίοις. τὰ δὲ πάντα τεθησαυρισμένα κείσθω,
ὄφρα τε θηλυτέρῃσι καὶ ἀνδράσιν ἑδριόωσιν
ἔνθεν πορσύνῃς μεμνημένος. ἤμασι δ' ἔστω
νυξί τ' ἐπασσυτέραισι θεοπροπίους κατὰ θώκους
παμπληθὴς ἄγυρις, σπουδὴ δὲ γέλωτι μεμίχθω.
ταῦτά τοι ἐν φρεσὶ σῇσιν ἀεὶ μεμνημένος εἶναι,
καί σοι πᾶσα χθὼν Ἰταλὴ καὶ πᾶσα Λατίνων
αἰὲν ὑπὸ σκήπτροισιν ὑπαυχένιον ζυγὸν ἕξει.

1. ἴσα δεδέχθω Zos., vulg. αἴσια δέχθω. || 2. καὶ om. Zos. || 3. κούρῃσι Zos. || 4. αὐταὶ Zos., αὐταὶ ἄγοιεν Heyn. || 7. αἵ Xyl. Meurs. || ζεύγλαις Zos. || 9 δὲ λύματα] θελήματα Sylb. in Zos., quod praefert Bast. || 10. θηλυτέρῃσι Zos. || 14. Οὐρανίδαις Zos. || κείσθω Zos., κεῖσθαι Xyl. Meurs || 15. ὄ. τε θηλυτέρῃσι Zos., vulg. ὄ. τελῇ θυμέλῃσι. || 17. ἐπασσυτέρῃσι θεοπρέπτους (vel θεοτρέπτους, Sylb. θεοπρέπτους) Zos. || 18. γέλως τε Sylb. in Zos. || 19. φρεσὶν ᾖσι Zos. || 20. Λατίνη Zos.

ΦΛΕΓΟΝΤΟΣ ΤΡΑΛΛΙΑΝΟΥ

ΟΛΥΜΠΙΑΔΩΝ Η ΧΡΟΝΙΚΩΝ.

Ex libro primo.

1. *Δοκεῖ μοι χρῆναι εἰπεῖν τὴν αἰτίαν, δι' ἣν τὰ Ὀλύμπια τεθῆναι συμβέβηκεν. ἔστι δὲ ἥδε. μετὰ Πεῖσον καὶ Πέλοπα, ἔτι δὲ Ἡρακλέα, τοὺς πρώτους τὴν πανήγυριν καὶ τὸν ἀγῶνα τὸν Ὀλυμπιάσιν ἐνστησαμένους, ἐκλειπόντων τῶν Πελοποννησίων τὴν θρησκείαν χρόνῳ τινί, εἰς ὃν ἀπὸ Ἰφίτου ὀλυμπιάδες ὀκτὼ πρὸς ταῖς εἴκοσι καταριθμοῦνται εἰς Κοροῖβον τὸν Ἠλεῖον, καὶ ἀμελησάντων τοῦ ἀγῶνος, στάσις ἐνέστη κατὰ τὴν Πελοπόννησον. Λυκοῦργος δὲ ὁ Λακεδαιμόνιος, υἱὸς ὢν τοῦ Πρυτανέως, τοῦ Εὐρυπῶντος, τοῦ Σόου, τοῦ Προκλέως, τοῦ Ἀριστοδήμου, τοῦ Ἀριστομάχου, τοῦ Κλεοδαίου, τοῦ Ὕλλου, τοῦ Ἡρακλέους καὶ Δηιανείρας, καὶ Ἴφιτος ὁ Αἵμονος, ὡς δὲ ἔνιοι Πραξωνίδου, ἑνὸς τῶν ἀπὸ Ἡρακλέους, Ἠλεῖος, καὶ Κλεοσθένης ὁ Κλεονίκου Πεισάτης, βουλόμενοι εἰς ὁμόνοιαν καὶ εἰρήνην τὸ πλῆθος αὖθις ἀποκαταστῆσαι, τήν τε πανήγυριν τὴν Ὀλυμπικὴν ἔγνωσαν ἀνάγειν εἰς τὰ ἀρχαῖα νόμιμα καὶ ἀγῶνα γυμνικὸν ἐπιτελέσαι. στέλλονται δὴ εἰς Δελφοὺς χρησόμενοι τῷ θεῷ, εἴ σφισιν συνεπαινεῖ ταῦτα ποιῆσαι. ὁ δὲ θεὸς ἄμεινον*

1. in cod. reliquis Phlegontis scriptis annexum est s. t. *περὶ τῶν Ὀλυμπίων.* ‖ 10. *Εὐρόπου* Xyl., corr. Meurs. ex Paus. 2. 36, 5. 3. 7, 1. 2. 12, 7. 4. 4, 3. ‖ *Σώσου* Xyl., corr. Meurs. ex Paus. 3. 7, 1. Plut. Lyc. c. 2, *Σώου* Frans.

ἔφη ἔσεσθαι ποιοῦσιν. καὶ προσέταξεν ἐκεχειρίαν ἀγγεῖλαι ταῖς πόλεσιν ταῖς βουλομέναις μετέχειν τοῦ ἀγῶνος. ὧν περιαγγελθέντων κατὰ τὴν Ἑλλάδα καὶ ὁ δίσκος ἐγράφη τοῖς ἑλλανοδίκαις, καθ' ὃν ἔδει τὰ Ὀλύμπια ἄγειν. οὐκ ἄγαν δὲ προσιεμένων τὸν ἀγῶνα, ἀλλὰ δυσχεραινόντων τῶν Πελοποννησίων, λοιμὸς ἐπιγενόμενος καὶ φθορὰ καρπῶν ἐλυμαίνετο αὐτούς. οἱ δὲ ἀποστάντες πάλιν τοὺς περὶ τὸν Λυκοῦργον ᾐτοῦντο τοῦ λοιμοῦ παῦλαν καὶ ἴασίν τινα. ἡ δὲ Πυθία χρᾷ τάδε·

ὦ γῆς ἀκρόπολιν πάσης Πελοπηίδα κλεινὴν
ναίοντες, πρέσβεις τε βροτῶν πάντων καὶ ἄριστοι,
φράζεσθ' ἐξ ἐμέθεν χρησμὸν θεοῦ, ὅττι κεν εἴπω.
Ζεὺς ὑμῖν τελετῆς μῆνιν ἔχει ἣν διέχρησεν,
οὕνεκ' ἀτιμάζοντες Ὀλύμπια πασινάνακτος
Ζηνὸς — τοῦ πρῶτος μὲν ἱδρύσατο καὶ θέτο τιμὴν
Πεῖσος, καὶ μετὰ τόνδε Πέλοψ, ὅτε δημονναιαν
Ἑλλάδα, θῆκε δ' ἔπειτ' ἔροτιν καὶ ἔπαθλα θανόντι
Οἰνομάῳ, τρίτατος δ' ἐπὶ τοῖς παῖς Ἀμφιτρύωνος
Ἡρακλέης ἐτέλεσσ' ἔροτιν καὶ ἀγῶν' ἐπὶ μήτρῳ
Τανταλίδῃ Πέλοπι φθιμένῳ — τὸν δήποθεν ὑμεῖς
λείπετε καὶ τελετήν. ἧς χωσάμενος κατὰ θυμὸν
ὦρσε κακὸν λιμὸν παρὰ τοῖς καὶ λοιμόν, ὃν ἔστι
παῦσαι ἀνορθώσαντας ἑορτὴν τῷ πάλιν αὖθις.

ταῦτα ἀκούσαντες ἀπήγγειλαν τοῖς Πελοποννησίοις, οἱ

6. *τῶν ἰε* cod., *τῶν τε* edd., *τῶν τότε* coni. Xyl. ‖ 7. f. *ἀποστείλαντες*. ‖ 13. *ἡμῖν* edd. ‖ 14. *ἀτιμάζοντας* coni. Krause. ‖ *λασιάνακτος* (*πα* supra *λα*) cod., *λᾶοι ἄνακτος* edd. ‖ 16. *δῆμον εἰς αἶαν* (?) coni. Xyl., f. *ὁ δ' ἄρ' ἔλλαχεν αἶαν* Ἑ. s. *Ἤλιδα*, sive *Πέλοψ ὅτε δὴ λάχεν αἶαν* Ἠ. ‖ 17 *ἔπειτα* Xyl. ‖ *ἑορτὴν* Toup. ‖ 19. *Ἡρακλῆς* edd. ‖ 20. *Πέλοπι Τανταλίδῃ* vulg., corr. Soping., qui item coni. *τὸν δὴ πόθεν ὑμεῖς λείπετε* p. vulg. *τὸν δήποθεν ὑμῖν* (*ὑμεῖν* Xyl.) *λείπεις*. ‖ 22. *κακὴν* Xyl.

δὲ ἀπιστήσαντες τῷ χρησμῷ ἀπέστειλαν πάλιν καὶ αὐτοὶ ἀπὸ κοινοῦ δόγματος ἐπιστρεφέστερον ἐπερωτήσοντας τὸν θεὸν περὶ τῶν χρησθέντων. ἡ δὲ Πυθία λέγει τάδε·

ὦ Πελοποννήσου ναέται, περὶ βωμὸν ἰόντες
θύετε καὶ πείθεσθε τά κεν μάντεις ἐνέπωσιν,
Ἠλείων πρόπολοι, πατέρων νόμον ἰθύνοντες.

τούτων χρησθέντων οἱ Πελοποννήσιοι ἐπέτρεψαν τοῖς Ἠλείοις ἀγῶνα τιθέναι τῶν Ὀλυμπίων καὶ ἐκεχειρίαν ἀγγέλλειν ταῖς πόλεσιν. καὶ Ἠλεῖοι δὲ μετὰ ταῦτα βουλόμενοι βοηθεῖν Λακεδαιμονίοις, ὅτε Ἕλος ἐπολιόρκουν, πέμψαντες εἰς Δελφοὺς ἐμαντεύοντο. καὶ χρᾷ ἡ Πυθία τάδε·

τὴν αὐτῶν ῥύεσθε πάτραν, πολέμου δ' ἀπέχεσθε,
κοινοδίκου φιλίας ἡγούμενοι Ἑλλήνεσσιν,
ἔστ' ἂν πενταέτης ἔλθῃ φιλόφρων ἐνιαυτός.

χρησθέντων δὲ τούτων τοῦ μὲν πολεμεῖν ἀπέσχοντο, τῶν δὲ Ὀλυμπίων τὴν ἐπιμέλειαν ἐποιοῦντο. καὶ ἐστέφετο μὲν οὐδεὶς ἐπὶ πέντε ὀλυμπιάδας. τῇ δὲ ἕκτῃ ἔδοξεν αὐτοῖς μαντεύσασθαι, εἰ στέμματα περιθῶσι τοῖς νικῶσι, καὶ πέμπουσι τὸν βασιλέα Ἴφιτον εἰς θεοῦ. ὁ δὲ θεὸς ἔφη τάδε·

Ἴφιτε, μήλειον καρπὸν μὴ θῇς ἐπὶ νίκῃ,
ἀλλὰ τὸν ἄγριον ἀμφιτίθει καρπώδη ἐλαιῶν,
ὃς νῦν ἀμφέχεται λεπτοῖσιν ὑφάσμασ' ἀράχνης.

παραγενόμενος οὖν εἰς τὴν Ὀλυμπίαν, πολλῶν ἐν τῷ τεμένει κοτίνων ὄντων, εὑρὼν ἕνα περιεχόμενον ἀραχνίοις περιῳκοδόμησεν αὐτόν, καὶ τοῖς νικῶσιν ἐκ τούτου ἐδόθη ὁ στέφανος. πρῶτος δ' ἐστεφανώθη Δαΐκλῆς Μεσσήνιος, ὃς τῇ ἑβδόμῃ ὀλυμπιάδι στάδιον ἐνίκα.

2. ἐπερωτήσαντας Xyl. ‖ 12. αὐτῶν cod., αὑτῶν edd. ‖ 14. ἔστ' ἂν ἐπὶ ξυνόδοις ἔλθῃ in mg. cod. ‖ 15. ἀνέσχοντο edd. ‖ 28. ὃς inseruit Meurs.

II. *Γεργιθία ἡ χρησμολόγος Σιβύλλα, ἥ τις καὶ τετύπωτο ἐν τῷ νομίσματι τῶν Γεργιθίων αὐτή τε καὶ ἡ σφίγξ, ὡς Φλέγων ἐν ὀλυμπιάδων πρώτῃ.* Steph. Byz. s v. *Γέργις.*

III. *Διὸς ἱερόν, πολίχνιον Ἰωνίας, — τὸ ἐθνικὸν Διοσιερίτης, ὡς Φλέγων ἐν πρώτῃ ὀλυμπιάδων.* Steph. Byz. s. h. v.

IV. *Φλέγων ἐν ὀλυμπιάδι δ'· Ἀντίμαχος Ἠλεῖος ἐκ Δυσποντίου στάδιον.* Steph. Byz. s. v *Δυσπόντιον.*

Ex libris incertis.

V. [*Ἴκαρος*] *Ὑπερασιεύς. Φλέγων εἰκοστῇ τρίτῃ ὀλυμπιάδι.* Steph. Byz. s v. *Ὑπερασία.*

VI. *Ἐν κζ'· Δαΐππος Κροτωνιάτης πύξ, Ἠλείων ἐκ Δυσποντίου τέθριππον.* Steph. Byz. s. v. *Δυσπόντιον.*

VII. *Δῆνος, χώρα τῶν Πισαίων· ὁ πολίτης Δηναῖος. Φλέγων τεσσαρακοστῇ ὀγδόῃ ὀλυμπιάδι.* Steph. Byz. s. h. v.

Ex libro octavo.

VIII. *Αὐγοῦσται, πόλις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ· οἱ πολῖται Αὐγουστανοί. Φλέγων ἐν ὀλυμπιάδων η'.* Steph. Byz. s. h. v.

6. *ὀλυμπιάδων* Holst., *ὀλυμπιάδος* codd., *ὀλυμπιάδι* edd. || 8. *δ'*] *β'* Euseb. || 10. *Ἴκαρος* addidi ex Paus. 4. 15, 1. qui et *Ὑπερησιεύς*, Euseb. *Ἰκάριος Ὑπηρεσιεύς.* || 12. *πύξ Ἠλείων* vulg., comma interposuit Huetius not. ms. in ed. Berkelii, quae asservatur in bibl. reg. Paris., quas notas debeo benevolentiae E. Milleri v. cl. Sed fortasse corruptus est locus atque scribendum *πύξ* ∗ *Ἠλεῖος*, ut exciderit nomen victoris Elei, velut *Ἀρχίδαμος* (Paus. 6. 17, 4.) aut *Τηλέμαχος* (Paus. 6. 13, 6.), qui Elei quadrigis vicerant, aut quodvis aliud. || 19. *ὀλυμπιάδι* codd.

IX. *Κρέμη, πόλις Πόντου. Φλέγων ὀγδόῃ χρονικῶν.* Steph. Byz. s. h. v.

Ex libris incertis.

X. *Νίσιβις, πόλις Αἰγύπτου. Φλέγων ἑκατοστῇ τεσσαρακοστῇ ὀλυμπιάδι.* Steph. Byz. s. h. v.

XI. *Βέλιτρα, πόλις Ἰταλίας, οὐ Ῥώμης ἀπωτέρω, ὥς φησι Φλέγων ὀλυμπιάδι ροδ΄.* Steph. Byz s. h. v.

XII. *— τῆς ροζ΄ ὀλυμπιάδος, ἐν ᾗ ἐνίκα Ἑκατόμνως Μιλήσιος στάδιον καὶ δίαυλον καὶ ὁπλίτην, τρίς, Ὑψικλῆς Σικυώνιος δόλιχον, Γαΐος Ῥωμαῖος δόλιχον, Ἀριστωνυμίδας Κῷος πένταθλον, Ἰσίδωρος Ἀλεξανδρεὺς πάλην, ἄπτωτος περίοδον, Ἀτυάνας Ἱπποκράτους Ἀδραμυτίου παῖς πύξ, Σφοδρίας Σικυώνιος παγκράτιον, Σωσιγενὴς Ἀσιανὸς παίδων στάδιον, Ἀπολλοφάνης Κυπαρισσιεὺς παίδων πάλην, Σωτήριχος Ἠλεῖος παίδων πύξ, Κάλας Ἠλεῖος παίδων παγκράτιον, Ἑκατόμνως Μιλήσιος ὁπλίτην (οὗτος ἐν τῇ αὐτῇ τὰ τρία ἐστεφανώθη, στάδιον, δίαυλον, ὁπλίτην), Ἀριστόλοχος ὁ Ἠλεῖος τέθριππον, Ἀγήμονος Ἠλείου κέλης, Ἑλλανίκου Ἠλείου συνωρίς, τοῦ αὐτοῦ πωλικὸν τέθριππον, Κλητία Ἠλείου πωλικὴ συνωρίς, Καλλίππου Πηλίου πωλικὸς κέλης. Λεύκολλος δὲ Ἀμισὸν ἐπολιόρκει, καὶ Μουρήναν ἐπὶ τῆς πολιορκίας καταλιπὼν μετὰ δυοῖν ταγμάτοιν αὐτὸς μετὰ τριῶν ἄλλων προῆγεν ἐπὶ Καβείρων, ὅπου διεχεί-*

3. *ἑκατοστῷ τεσσαρακοστῷ ὀλυμπιάδος* codd. ‖ 6. *ὀλυμπιάδι ρυδ΄* cod. Vrat., *ὀλυμπιάσιν ἑκατὸν ἑβδομηκοντατέσσαρσι* vulg. ‖ 7. *Ἑκατόμνος* vulg. ‖ 10. *ἀριστωνυμίδας* A. (Marc. 450.), *ἀριστωνυμίας* vulg. ‖ 11. *Ἄπτωτος* vulg. ‖ *περίοδον*] *περιοδονίκης* Boeckh. ‖ *Ἀτραμυττείου* vulg. ‖ 16. *Μιλ. καὶ ὁπλίτην* vulg. ‖ 18. *Ἀγήμονος* Bk. ‖ 19. *Κλητεία* vulg. ‖ 20. *Πηλείου* vulg., *Ἠλείου* Meier. ‖ 21. *Λεύκολος δὲ ἀμινσὸν* vulg.

μαξε. καὶ Ἀδριανὸν ἐπέταξε πολεμῆσαι Μιθριδάτῃ· καὶ πολεμήσας ἐνίκησε. καὶ σεισμοῦ ἐν Ῥώμῃ γενομένου πολλὰ ταύτης συνέπεσε. καὶ ἄλλα δὲ πλεῖστα ἐν ταύτῃ ξυνηνέχθη τῇ ὀλυμπιάδι. καὶ Ῥωμαίων τῷ τρίτῳ αὐτῆς ἔτει ἀπετιμήθησαν μυριάδες ἐνενήκοντα καὶ μία. καὶ Σινατρούκην τὸν Πάρθων βασιλέα τελευτήσαντα διεδέξατο Φραάτης ὁ ἐπικληθεὶς θεός. καὶ Φαῖδρον τὸν Ἐπικούρειον διεδέξατο Πάτρων. καὶ Οὐεργίλιος Μάρων ὁ ποιητὴς ἐγεννήθη τούτου τοῦ ἔτους εἰδοῖς Ὀκτωβρίαις. τῷ δὲ τετάρτῳ ἔτει Τιγράνης καὶ Μιθριδάτης ἀθροίσαντες πεζοὺς μὲν τέσσαρας μυριάδας, ἱππέας δὲ τρεῖς, καὶ τὸν Ἰταλικὸν αὐτοὺς τάξαντες τρόπον, ἐπολέμησαν Λευκόλλῳ· καὶ νικᾷ Λεύκολλος, καὶ πεντακισχίλιοι μὲν τῶν μετὰ Τιγράνους ἔπεσον, πλείους δὲ τούτων ἠχμαλωτίσθησαν χωρὶς τοῦ ἄλλου σύγκλυδος ὄχλου. καὶ τὸ Καπιτώλιον ἐν Ῥώμῃ Κάτλος καθιέρωσε. καὶ Μέτελλος ἐπὶ τὸν Κρητικὸν πόλεμον ὁρμήσας τρία τάγματα ἔχων ἦλθεν εἰς τὴν νῆσον καὶ μάχῃ νικήσας τὸν Λασθένη αὐτοκράτωρ ἀνηγορεύθη, καὶ τειχήρεις κατέστησε τοὺς Κρῆτας. καὶ Ἀθηνόδωρος πειρατὴς ἐξανδραποδισάμενος Δηλίους τὰ τῶν λεγομένων θεῶν ξόανα διελυμήνατο· Γάϊος δὲ Τριάριος τὰ λελωβημένα τῆς πόλεως ἐπισκευάσας ἐτείχισε τὴν Δῆλον. Photius bibl. cod. 97.

XIII. Φλέγων ὀλυμπιάδι ἑκατοστῇ ὀγδοηκοστῇ πρώτῃ, ὅτι παιδίον ἐκ δούλης γενόμενον τῇ ἐννάτῃ καὶ τεσσαρακοστῇ τῆς γενέσεως τὸν προσαγορεύσαντα ἀντιπροσαγορεῦσαι, ἐφ' οἷς τοὺς μάντεις προαγορεῦσαι ὄλεθρον. Steph. Byz. s. v. Ταρραχίνη.

7. Φραάτης vulg. ‖ 8. Οὐιργίλιος vulg. ‖ 11. ἱππέων vulg. ‖ 12. Λευκούλλῳ 13. Λεύκουλλος vulg. ‖ 15. συγκλυδοῦς vulg. ‖ 18. Λασσθένη vulg.

Ex libro decimo tertio.

XIV. *Φλέγων μέντοι ἐν τρισκαιδεκάτῳ ἢ τεσσαρεσκαιδεκάτῳ οἶμαι τῶν χρονικῶν καὶ τὴν περί τινων μελλόντων πρόγνωσιν ἔδωκε τῷ Χριστῷ.* Origen. c. Cels. 2, 14.

XV. *Γράφει δὲ καὶ λέγει ὁ τὰς ὀλυμπιάδας γράφων Φλέγων περὶ τῶν αὐτῶν ἐν τῷ τρισκαιδεκάτῳ ῥήμασιν αὐτοῖς τάδε· τῷ δ' ἔτει τῆς σβ' ὀλυμπιάδος ἐγένετο ἔκλειψις ἡλίου μεγίστη τῶν ἐγνωρισμένων πρότερον, καὶ νὺξ ὥρᾳ ἕκτῃ τῆς ἡμέρας ἐγένετο, ὥστε καὶ ἀστέρας ἐν οὐρανῷ φανῆναι· σεισμός τε μέγας κατὰ Βιθυνίαν γενόμενος τὰ πολλὰ Νικαίας κατεστρέψατο.* Euseb. chron.

Ex libro decimo quinto.

XVI. *Νεοκαισάρεια, Ποντικὴ πόλις. τὸ ἐθνικὸν Νεοκαισαρεύς, ὡς Φλέγων πεντεκαιδεκάτῳ ὀλυμπιάδων.* Steph. Byz. s. h. v.

XVII. *Σκορδίσκοι καὶ Σκίρτιοι, ἔθνη Παιονίας, ὡς Φλέγων ἐν πεντεκαιδεκάτῃ ὀλυμπιάδων.* Steph. Byz. s. h. v.

XVIII. *Τερβητία, πόλις Σικελίας. οἱ πολῖται Τερβητῖνοι. Φλέγων ἐν ὀλυμπιάδων πεντεκαιδεκάτῳ.* Steph. Byz. s. h. v.

XIX. *Φουρνῖτα, πόλις Λιβύης. οἱ οἰκήτορες Φουρνιτανοί. Φλέγων πεντεκαιδεκάτῳ ὀλυμπιάδων.* Steph. Byz. s. h. v.

XV. Repetunt Syncell. chr. p. 325. (cf. p. 322.) Maxim. schol. ad Dionys. Areop. epist. 7. Orig. in Matth. tract. 29. et 35. c. Cels. 2, 33. Paul. Diac. hist. misc. 7. p. 254. ed. Bas. 1569. Io. Malal. chr. 10. p. 310. ‖ 13. *πεντεκαιδεκάτῳ ὀλυμπιάδος* Ald., *πεντεκαιδεκάτῃ ὀλυμπιάδι* cett. ‖ 16. *ἐν ὀλυμπιάδι ιε'* Vrat., *ἐν πεντεκαιδεκάτῃ ὀλυμπιάδι* vulg. ‖ 22. *π. τῶν ὀλ.* Vrat.

XX. *Μαρτυρεῖ δὲ καὶ Φλέγων ἐν ὀλυμπιάδων πεντεκαιδεκάτῃ, ὅτε ἐβασιλεύετο ὁ Βόσπορος Κότυι τῷ Βοσποριανῷ βασιλεῖ, ᾧ καὶ διάδημα ἐκέλευσε φορεῖν ὁ Καῖσαρ, καὶ τὰς πόλεις αὐτῷ καθυπέταξεν, ἐν αἷς συναριθμεῖ καὶ αὐτὴν Χερσῶνα.* Constant. Porphyrog. them. 2, 12.

XXI. *Ὀλυμπίειον, τόπος ἐν Δήλῳ, ὃν κτίσαντες Ἀθηναῖοι χρήμασιν Ἀδριανοῦ νέας Ἀθήνας Ἀδριανὰς ἐκάλεσαν, ὡς Φλέγων ἐν ὀλυμπιάδων πεντεκαιδεκάτῳ.* Steph. Byz. s. h. v.

Ex libris incertis.

XXII. *Ἔλβονθις, πόλις μεταξὺ Αἰγύπτου καὶ Κυρήνης. τὸ ἐθνικὸν Ἐλβονθίτης, ὡς Φλέγων.* Steph. Byz. s. h. v.

XXIII. *Μαιανδρούπολις, Μαγνησίας πόλις, ὡς Φλέγων ἐν ὀλυμπιάσι.* Steph. Byz. s. h. v.

XXIV. *Μοτιηνοί, χωρίον Ἰβηρίας, Φλέγων δὲ Μουτιηνὸν αὐτήν φησι.* Steph. Byz. s. h. v.

XXV. *Πικεντία, πόλις Τυρρηνίας, Φλέγων δὲ Πίκεντον αὐτὴν καλεῖ.* Steph. Byz. s. h. v.

XXVI. *Σινώπη, πόλις διαφανεστάτη τοῦ Πόντου, κτίσμα Κριτίου Κῴου, ὥς φησι Φλέγων.* Steph. Byz. s. h. v.

XXVII. *Τέρινα, πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος, κτίσμα Κροτωνιατῶν, ὡς Φλέγων.* Steph. Byz. s. h. v.

XXVIII. *Ὠστία — τὸ ἐθνικὸν δύναται καὶ Ὠστιανὸς καὶ Ὠστιάτης· συνήθης γὰρ ὁ τύπος τοῖς Ἰταλοῖς. Φλέγων δὲ Ὠστίους αὐτοὺς καλεῖ λέγων· παρέλαβε δὲ τὴν Ὠστίων πόλιν.* Steph. Byz. s. h. v.

1. ὀλυμπιάδι vulg. || 15. Ὀλύμπῳ Ald. || 17. Μοτινὴν Vrat.

ΓΥΝΑΙΚΕΣ ΕΝ ΠΟΛΕΜΙΚΟΙΣ ΣΥΝΕΤΑΙ ΚΑΙ ΑΝΔΡΕΙΑΙ.

I. *Σεμίραμις.* Θυγατὴρ μέν, ὥς φησι Κτησίας, Δερκετοῦς τῆς Συρίας θεοῦ καὶ Σύρου τινός, ἥτις ἐτράφη ὑπὸ Σιμόεντος, ὑπηρέτου τοῦ βασιλέως Νίνου. γαμηθεῖσα δὲ Ὀννέῳ, ὑπάρχῳ τινὶ βασιλικῷ, εἶχεν υἱούς. ἑλοῦσα δὲ Βάκτρα μετὰ τοῦ ἀνδρός *, ἐπιγνοὺς Νίνος ἤδη γηραιὸς ὢν ἐγάμησεν. ἡ δὲ ἐτέκνωσεν ἐξ αὐτοῦ Νίνυαν παῖδα. μετὰ δὲ τὸν Νίνου θάνατον ἐτείχισε τὴν Βαβυλῶνα ὀπτῇ πλίνθῳ καὶ ἀσφάλτῳ καὶ τὸ τοῦ Βήλου ἱερὸν κατεσκεύασεν. ἐπιβουλευθεῖσα δὲ ὑπὸ τοῦ υἱοῦ Νινύου ἐτελεύτησεν, ἔτη βιώσασα ξ', βασιλεύσασα ἔτη μβ'.

II. *Ζαριναία.* Αὕτη τελευτήσαντος τοῦ προτέρου ἀνδρὸς αὐτῆς καὶ ἀδελφοῦ Κυδραίου, Σακῶν βασιλέως, ἐγαμήθη Μερμέρῳ τῆς Παρθυαίων χώρας δυνάστῃ. τοῦ δὲ Περσῶν βασιλέως ἐπιστρατεύσαντος πολεμοῦσα καὶ τρωθεῖσα ἔφυγε, διωχθεῖσα δὲ ὑπὸ Στρυαγγαίου ἱκετεύ-

Inscr. *γυναῖκες ἐν πολεμικοῖς συνεταὶ καὶ ἀνδρεῖαι* E (cod. Escorial.), *γυναῖκες ἐν πολεμικαῖς συνεταὶς καὶ ἀνδρείαις* H (Holstenii apogr.). ‖ I. Ctes. fragm. ed. Baehr. p. 393 sq. cf. Diod. 2, 4 sq. ‖ 3. *Σιμόεντος*] *Σίμμα ὄντος* ex Diod. corr. Heeren. ‖ *Νίλου* H. ‖ 4. post *υἱούς* aliquid excidisse velut *δύο, Ὑαπάτην καὶ Ὑδάσπην* (Diod.) censet Heeren; sed potius post *ἀνδρός* aliquid excidit. ‖ 6. *ἐγαμήθη* E. ‖ 10. *Νίνου* codd., corr. Heer.

II. Ctes. fragm. p. 447. cf. Diod. 2, 34. Nic. Dam. in exc. Peir. p. 437 sq. Dem. d. eloq. §. 218 sq. ‖ 14. *Πάρθων* H. ‖ 15. post *ἐπιστρατεύσαντος* excidisse *αὐτῷ* vel *τῇ χώρᾳ* censet Heer. ‖ 16. *Στρυαγγαίου*] *τοῦ Ἀγγαίου* codd., corr. Heer. ‖ *ἱκετεύουσα* E.

σασα διεσώθη. μετ' οὐ πολὺ δὲ ὑποχείριον αὐτὸν ὁ ἀνὴρ αὐτῆς λαβὼν ἐβούλετο ἀνελεῖν, ἡ δὲ δεομένη σώζειν καὶ μὴ πείθουσα, λύσασά τινας τῶν ἑαλωκότων σὺν αὐτοῖς τὸν Μέρμερον ἀνεῖλε, καὶ παραδοῦσα τῷ Πέρσῃ τὴν χώραν φιλίαν ἐποιήσατο πρὸς αὐτόν, ὡς ἱστορεῖ Κτησίας.

III. *Νίτωκρις, Αἰγύπτου βασίλισσα, περὶ ἧς Ἡρόδοτος ἱστορεῖ, τοῦ ἀδελφοῦ αὐτῆς ὑπ' Αἰγυπτίων ἀναιρεθέντος τοὺς μάλιστα αἰτίους συγκαλέσασα καὶ ἔν τινι ἐπιμήκει οἴκῳ ἑστιῶσα διά τινος αὐλῶνος τὸν ποταμὸν αὐτοῖς ἐπεισήγαγεν, ἑαυτὴν δὲ εἰς οἴκημά τι σποδοῦ πληρὲς ἐνέβαλεν.*

IV. *Νίτωκρις Βαβυλωνία. Ταύτην φησὶν Ἡρόδοτος φρονιμωτέραν Σεμιράμιδος γενέσθαι βασίλισσαν. τόν τε γὰρ ποταμὸν γεφυρῶσαι ἐν τῇ πόλει, τήν τε λίμνην ὀρύξαι καὶ κρηπιδῶσαι κρηπῖδι λιθίνῃ, τό τε ῥεῦμα τοῦ ποταμοῦ εἰς αὐτὴν ἐπιστρέψαι πρὸς τὸ βραδυτέραν τὴν τῶν πολεμίων ἔφοδον εἶναι. καὶ τὸν τάφον δὲ τὸν ἐπὶ τῇ πύλῃ τὸν ἴδιον ταύτην φησὶ ποιῆσαι, τὸν ἐξαπατήσαντα Δαρεῖον, ὃς ὑπονοῶν ἀργύρια εὑρεῖν καὶ ἀνοίξας τὸν τάφον ταῦτα μὲν οὐχ εὗρε, γράμματα δὲ ἀπληστίαν πολλὴν καὶ αἰσχροκέρδειαν αὐτῷ ὀνειδίζοντα.*

V. *Ἀργεία, τὸ μὲν γένος ἔχουσα ἀπὸ Πολυνείκους *. ταύτην φησὶν Ἡρόδοτος τεκεῖν διδύμους παῖδας, καὶ μετὰ τὴν τελευτὴν τοῦ ἀνδρὸς Ἀριστοδήμου Λακεδαιμονίων βασιλέως μὴ θελῆσαι εἰπεῖν τὸν πρεσβύτερον τῶν βρεφῶν, ἀμφοτέροιν ἐξ ἴσου τὴν βασιλείαν περι-*

2. *θελομένη* E.
III Her. 2, 100. ‖ 12. *πλήρης* H.
IV. Her. 1, 185. 187.
V. Her. 6, 52. ‖ 27. *ἀμφοτέρων* E.

θεῖναι θέλουσαν· ἐφόδῳ μέντοι γενέσθαι φανερὸν τῷ πρῶτον ὑπ' αὐτῆς καὶ λούεσθαι καὶ τρέφεσθαι τὸν πρεσβύτερον.

VI. Θειοσσώ. Ταύτην φησὶ Τίμαιος κατὰ μὲν τὴν Φοινίκων γλῶσσαν Ἐλίσσαν καλεῖσθαι, ἀδελφὴν δὲ εἶναι Πυγμαλίωνος τοῦ Τυρίων βασιλέως, ὑφ' ἧς φησι τὴν Καρχηδόνα τὴν ἐν Λιβύῃ κτισθῆναι. τοῦ γὰρ ἀνδρὸς αὐτῆς ὑπὸ τοῦ Πυγμαλίωνος ἀναιρεθέντος ἐνθεμένη τὰ χρήματα εἰς σκάφας μετά τινων πολιτῶν ἔφευγε, καὶ πολλὰ κακοπαθήσασα τῇ Λιβύῃ προσηνέχθη, καὶ ὑπὸ τῶν Λιβύων διὰ τὴν πολλὴν αὐτῆς πλάνην Δειδὼ προσηγορεύθη ἐπιχωρίως. κτίσασα δὲ τὴν προειρημένην πόλιν, τοῦ τῶν Λιβύων βασιλέως θέλοντος αὐτὴν γῆμαι αὐτὴ μὲν ἀντέλεγεν, ὑπὸ δὲ τῶν πολιτῶν συναναγκαζομένη, σκηψαμένη τελετήν τινα πρὸς ἀνάλυσιν ὅρκων ἐπιτελέσειν, πύραν μεγίστην ἔγγυς τοῦ οἴκου κατασκευάσασα καὶ ἅψασα ἀπὸ τοῦ δώματος αὑτὴν εἰς τὴν πύραν ἔρριψεν.

VII. Ἄτοσσα. Ταύτην φησὶν Ἑλλάνικος ὑπὸ τοῦ πατρὸς Ἀριάσπου ὡς ἄρρενα τραφεῖσαν διαδέξασθαι τὴν βασιλείαν. κρυβοῦσαν δὲ τὴν τῶν γυναίων ἐπίνοιαν τιάραν πρώτην φορέσαι, πρώτην δὲ καὶ ἀναξυρίδας καὶ τὴν τῶν εὐνούχων ὑπουργίαν εὑρεῖν καὶ διὰ βίβλων τὰς ἀποκρίσεις ποιεῖσθαι. πολλὰ δὲ ὑποτάξασα ἔθνη πολεμικωτάτη καὶ ἀνδρειοτάτη ἐν παντὶ ἔργῳ ἐγένετο.

VIII. Ῥοδογύνη, ἡ Περσῶν βασίλισσα, ὥς φησιν Αἰσχίνης ὁ φιλόσοφος, μεγίστην ἐποίησε τὴν Περσῶν βασιλείαν. οὕτως γάρ φησιν ἀνδρείαν αὐτὴν ἐν τοῖς ἔρ-

VI. Tim. fr. 45. p. 250. Goell. ‖ 11. διὰ — Λιβύων om. H. ‖ 12. ἐπιχωρίως E, corr. Heer., qui tamen praefert ἐπιχωρίοις deletis supra ὑπὸ τῶν Λιβύων. ‖ 15. σκεψαμένη H.

VII. Hellan. fragm. 132. b. p. 157. Sturz. ‖ 18. Ἄτοσσα corr. Sturz., vulg. Αὔττουσα.

γοις καὶ φοβερὰν γενέσθαι, ὥστε ποτὲ περὶ τὴν ἄσκησιν τῶν τριχῶν οὖσαν, ἀκούσασαν ἀποστάντα τινὰ τῶν ἐθνῶν, ἀφιέναι μὲν ἡμιτέλεστον τὴν πλοκήν, μὴ πρότερον δὲ ἀναπλέξασθαι πρὶν καταλαβοῦσαν ὑποτάξαι τὰ προειρημένα ἔθνη. διὸ καὶ εἰκὼν αὐτῆς ἀνετέθη χρυσεία, τὰς μὲν ἡμισεῖς ἔχουσα τριχὰς ἐπὶ τῆς κεφαλῆς ἀναπεπλεγμένας, τὰς δὲ ἡμισεῖς καθειμένας.

IX. *Λύδη.* Ταύτην φησὶν Ξενόφιλος, ὁ τὰς Λυδικὰς ἱστορίας γράψας, γυναῖκά τε καὶ ἀδελφὴν εἶναι Ἀλυαττέω τοῦ Κροίσου προπάτορος. ταύτης υἱὸς Ἀλυάτης διαδεξάμενος τὴν τοῦ πατρὸς βασιλείαν ἐγένετο δεινῶς ὑβριστής, ὥς καὶ τὰ ἱμάτια ἀξιολόγων ἀνδρῶν περισχίσαι καὶ προσπτύειν πολλοῖς. αὐτὴ δὲ τὸν υἱὸν ὅσον ἐδύνατο κατέστελλεν, τοὺς δὲ ὑβριζομένους καὶ λόγοις χρηστοῖς καὶ ἔργοις ἠμείβετο. πᾶσαν δὲ τῷ υἱῷ φιλοφροσύνην προσφέρουσα εἰς στοργὴν ἑαυτῆς πολλὴν αὐτὸν περιέτρεψε. νομίσασα δὲ αὐταρκῶς ἀγαπᾶσθαι, σκηψαμένη ἀσθένειαν σίτου καὶ τῶν λοιπῶν ἀπέσχετο, τὸν δὲ παρεδρεύοντα καὶ ὁμοίως ἀσιτοῦντα κατασταλῆναι καὶ εἰς τοῦτο μεταβάλλεσθαι, ὥστε, φησίν, ὀρθώτατον καὶ δικαιότατον αὐτὸν γενέσθαι.

X. *Φερετίμη, γυνὴ Βάττου.* Αὕτη τελευτήσαντος αὐτῆς τοῦ παιδὸς δόλῳ αὐτὴ τὴν ἀρχὴν τῆς Κυρήνης κατέσχε, καὶ τὸν υἱδοῦν βασιλέα καταστήσασα τοὺς ἀντιταξαμένους τῷ υἱῷ αὐτῆς Ἀρκεσίλᾳ κατὰ θάλατταν εἰς Αἴγυπτον ἀπέστειλεν. ἐπιπαραγενομένη δὲ αὐτὴ πάντας ἀνεῖλε, συμπείσασα τὸν ἔχοντα τὴν Αἰγύπτου ἀρχὴν τότε Ἀρυάνδην. λαβοῦσα δὲ δύναμιν παρὰ τοῦ βασιλέως τοὺς Κυρηναίους πικρῶς ἐχειρώσατο, καὶ ἀναχωρή-

IX. 9. Σαδυαττέω ex Her. 1, 16. corr. Heer.
X. Herod. 4, 162 sqq.

σασα εἰς Αἴγυπτον ἐτελεύτησε, καθὼς ἱστορεῖ Μενεκλῆς, ὁ τὰς Λιβυκὰς ἱστορίας γράψας.

XI. *Θαργηλία Μιλησία.* Ταύτην φασὶν Ἀντιόχου βασιλεύοντος τῶν Θετταλῶν ἀφικομένην εἰς Θετταλίαν γήμασθαι Ἀντιόχῳ καὶ ἀποθανόντος ἐκείνου βασιλεῦσαι Θετταλίας ἔτη λ΄, καὶ τὸν Περσῶν βασιλέα, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἐστρατεύετο, δέξασθαι καὶ ἀποπέμψαι μηδὲν ἐλαττωθεῖσαν.

XII. *Τώμυρις, Μασσαγετῶν βασίλισσα.* Αὕτη, καθὼς ἱστορεῖ Ἡρόδοτος, ἄσπονδον αὐτῇ πόλεμον Κύρου καταγγείλαντος, ἔχουσα καὶ υἱόν, τὸ μὲν πρῶτον συνεβούλευε τῷ Κύρῳ ἐν τοῖς ἰδίοις μένοντι ἡσυχάζειν, εἰ δ' ἄρα ἐπιθυμοίη πολεμεῖν, ἀναχωρήσαντα τῆς χώρας τριῶν ἡμερῶν διάστημα δέξασθαι αὐτὴν μετὰ τοῦ στρατεύματος ἢ εἰς τὴν αὐτῆς ὁμοίως εἰσιέναι. τοῦ δὲ πρὸς αὐτὴν χωρήσαντος καὶ μάχῃ νικήσαντος καὶ τὸν υἱὸν ζῶντα αὐτῆς λαβόντος, πέμψασα πάλιν συνεβούλευεν, ἀρκεσθέντα τῇ νίκῃ ἀποδόντα τὸν υἱὸν αὐτῇ ὑποστρέφειν εἰς τὴν ἰδίαν. ἀπειθοῦντος δὲ, ἐπεὶ ἔγνω τὸν παῖδα αὐτοχειρὶ διαφθαρῆναι, σύμπαντι τῷ στρατεύματι ἐπελθοῦσα οὐ μόνον ἐνίκησεν, ἀλλὰ καὶ αὐτὸν πεσόντα ἀναζητήσασα ἀντὶ τοῦ παιδὸς νεκροῦ ᾐκίσατο.

XIII. *Ἀρτεμισία, Ἁλικαρνασσίς, θυγάτηρ Λυγδάμιος,* ὥς φησιν Ἡρόδοτος. Αὕτη διὰ τὴν ἰδίαν ἀνδρείαν ἐπεστράτευσε τῷ Πέρσῃ, ἄρχουσα Ἁλικαρνασσίων, Κώων, Νισυρίων. ταύτης, φησί, τὰ ἔργα καὶ τὰς γνώμας ὁ Πέρσης θαυμάζων ἀνέκραγεν, ὡς αἱ γυναῖκες μὲν αὐτῷ ἄνδρες, οἱ δὲ ἄνδρες γυναῖκες αὐτῷ γεγόνασιν. ὅθεν καὶ μετὰ τὴν ναυμαχίαν τῇ μὲν Ἀρτεμισίᾳ πανοπλίαν ἔπεμψε, τοῖς δὲ τῶν Φοινίκων στρατηγοῖς ἠλακάτας καὶ ἀτράκτους, τῆς

XII. Herod. 1, 205 sqq. ‖ 8. *Τόμυρις* Herod.
XIII. Herod. 7, 99. ‖ 24. *Ἁλικαρνασίων* vulg.

μὲν τιμῶν τὴν ἀρετὴν τοῖς τῆς ἀνδρίας ἐπισήμοις, τῶν δὲ ἐξελέγχων τὴν μαλακίαν τοῖς τῶν γυναικῶν ἐπιτηδεύμασιν.

XIV. *Ὀνόμαρις, μία τῶν ἐν ἀξιώματι Γαλατῶν, καταπονουμένων ὑπ' ἀφορίας τῶν ὁμοφύλων καὶ ζητούντων φυγεῖν ἐκ τῆς χώρας, παραδιδόντων δὲ αὑτοὺς ἐν ὑποταγῇ τῷ θέλοντι ἀφηγεῖσθαι, μηδενὸς τῶν ἀνδρῶν θέλοντος τήν τε οὐσίαν πᾶσαν εἰς μέσον ἔθηκε καὶ τῆς ἀποικίας ἀφηγήσατο, πολλῶν ὄντων ὡς εἰς * διαβᾶσά τε τὸν Ἴστρον καὶ τοὺς ἐπιχωρίους μάχῃ νικήσασα τῆς χώρας ἐβασίλευσεν.*

ΤΙΝΕΣ ΟΙΚΟΙ ΑΝΑΣΤΑΤΟΙ ΔΙΑ ΓΥΝΑΙΚΑΣ ΕΓΕΝΟΝΤΟ.

Ὁ μὲν Ἡρακλέους διὰ τὴν ἐπιγαμίαν Ἰόλης, τῆς Εὐρύτου θυγατρός, καὶ ὁ Εὐρύτου διὰ τὴν θυγατέρα. ὁ Θησέως διὰ τὸν ἐφ' Ἱππολύτῳ Φαίδρας ἔρωτα. ὁ Ἀθάμαντος διὰ τὴν Θεμιστοῦς τῆς Ὑψέως ἐπιγαμίαν. ὁ δὲ Ἰάσονος διὰ Γλαύκην τὴν Κρέοντος. ὁ Τηρέως διὰ τὴν Φιλομήλας φθοράν. ὁ Ἀγαμέμνονος διὰ τὴν Κλυταιμνήστραν. ὁ Πριάμου διὰ τὴν Ἑλένης παρουσίαν. ὁ Ἀμφιαρέω διὰ τὴν Ἐριφίλην.

XIV. 5. *γὰρ* post *καταπονουμένων* inseri vult Heer. ‖ 8. *Ἀσίαν πᾶσαν* H. ‖ 9. post *εἰς* numerum excidisse censet Heer. ‖ 17. *Θεμίστου τῆς Ὑψέως* codd., corr. Heer. ex Apollod. 1. 9, 2.

ΦΙΛΑΔΕΛΦΟΙ.

Ἀγαμέμνων καὶ Μενέλαος. Ὀρέστης καὶ Ἠλέκτρα. Κάστωρ καὶ Πολυδεύκης. Ζῆθος καὶ Ἀμφίων. Κλέοβις καὶ Βίτων. Ἀντιγόνη καὶ Πολυνείκης. Τέννης καὶ Ἡμιθέα. Πρόκνη καὶ Φιλομήλη. αἱ Μελεάγρου ἀδελφαί, Φοίβη, Εὐρυδίκη, Μενεστώ, Ἐρατώ, Ἀντιόπη, Ἱπποδάμεια. αἱ Φαέθοντος ἀδελφαί, Αἴγλη, Λαμπετίη, Φαέθουσα. Ἕλλη καὶ Φρίξος. Μακαρία ἡ Ἡρακλέους ὑπὲρ τῶν ἀδελφῶν Θηριμάχου, Αἰχμαίου, Διοπείθους, Κρεοντιάδου σφάγιον ἑαυτὴν ἐπιδοῦσα. αἱ Ἐρεχθέως θυγατέρες Κρέουσα καὶ Χθονία διὰ Πρόκριν τὴν ἀδελφὴν μὴ ὑπομείνασαι ζῆν ἐκείνης σφαγιασθείσης ὑπὲρ Ἀθηναίων.

ΦΙΛΕΤΑΙΡΟΙ.

Θησεὺς καὶ Πειρίθοος. Ἀχιλλεὺς καὶ Πάτροκλος. Ἰδομενεὺς καὶ Μηριόνης. Ἀχιλλεὺς καὶ Ἀντίλοχος. Ὀρέστης καὶ Πυλάδης. Διομήδης καὶ Σθένελος. Φίντης καὶ Δάμων Συρακούσιοι, Πυθαγόρειοι, ὧν τοῦ ἑτέρου κατακριθέντος ὑπὸ Διονυσίου ὁ ἕτερος ἠγγυήσατο ἀποθανεῖν, ἐὰν ἐκεῖνος μὴ ἔλθῃ τῇ ὡρισμένῃ ἡμέρᾳ· ὁ δὲ τὰ περὶ τὰ ἴδια διαταξάμενος ἐλθὼν τῆς ἐγγύης τὸν φίλον

3. Ζῆτος vulg. || Κλεόβουλος codd., Κλέωβις Heer. || 8. Ἔλη, Λαμπέτη codd., corr. Heer. || 9. ἰθηριομάχου codd., corr. Heyn.

ἠλευθέρωσε· θαυμάσας δὲ ὁ τύραννος κἀκεῖνον ἀπέλυσε καὶ τρίτον ἑαυτὸν αὐτοῖς φίλον συνηρίθμησεν.

Κλέοβις καὶ Βίτων Ἀργεῖοι τὴν μητέρα ἐπὶ ἁμάξης εἵλκυσαν ἀπὸ τῆς πόλεως ἕως τοῦ ναοῦ τῆς Ἥρας μὴ ἔχοντες βοῦς.

Λιτυέρσης Μίδου υἱὸς νόθος, ὃν ὁ Ἡρακλῆς ἀνεῖλεν ὄντα κακόξενον. ἠνάγκαζε γὰρ τοὺς ξένους συνθερίζειν αὐτῷ, εἶτα εὐωχῶν ἀπεκεφάλιζε, τὰ δὲ σώματα ἐκόμιζεν ἐν τοῖς δράγμασιν ὡς παραλελογισμένων. ἱστορεῖ ταῦτα κατὰ μέρος Σωσίθεος ἐν Δαφνίδι λέγων οὕτως·

αἴδ' αἱ Κελαιναί, πατρίς, ἀρχαία πόλις,
Μίδου γέροντος, ὅστις ὦτ' ἔχων ὄνου
ἤνασσε καὶ νοῦν φωτὸς εὐήθους ἄγαν.
οὗτος δ' ἐκείνου παῖς, πατρὶ πλαστὸς νόθος,
μητρὸς δ' ὁποίας ἡ τεκοῦσ' ἐπίσταται,
ἔσθει μὲν ἄρτου τρεῖς ὄνους κανθηλίους
τρὶς τῆς βραχείας ἡμέρας, πίνει θ' ἅμα
καλῶν μετρητὴν τὸν δεκάμφορον πίθον.
ἐργάζεται δ' ἐλαφρὰ πρὸς τὰ σιτία,
ὄγμους θερίζων· τῇ μιᾷ δ' ἐν ἡμέρᾳ
Διόνυσον ὄμπνῃ συντίθησιν εἰς τέλος.
χὤταν τις ἔλθῃ ξεῖνος ἢ παρεξίῃ,

10. Σωσίβιος codd. et Tzetzes, Σωσίθεος Athenaeus. Fragmentum tractant Casaubonus lect. Theocr. p. 265, Eichstaedt in diss. d. dram. Graec. comico satyrico, Hermann. opp. 1. p. 54 sqq. Dedi ex recensione Hermanni. || 11. αἴδ' αἱ] οὔτ' οἱ codd. || 13. φωτὸς εὐειδοῦς codd. || 14 — 19. habet Tzetz. chil. 2, 40. v. 596 sqq. || 14. περίπλαστος codd., παράπλαστος Tzetz. || 16 — 18. habet Athen. 10. p. 415. C. || 16. ἄρτους codd. Tzetz., αὐτὸς Ath. || ὄνους codd., ὅλους Tzetz. || 19. σιτία] φορτία Tzetz. || 20. ὄγμον θερίζει codd. || 21. διαίνεσι τ' ἔμπης codd.

φαγεῖν τ' ἔδωκεν, εἶτα κἀπεχόρτασεν,
καὶ τοῦ ποτοῦ προὔτεινεν, ὡς ἂν ἐν θέρει,
πλέον· φθονεῖν γὰρ τοῖς θανουμένοις ὀκνεῖ.
ἐπισκοπῶν δὲ πεδία Μαιάνδρου ῥοαῖς
κηπευμάτων ἀρδευτὰ δαψιλεῖ πότῳ,
τὸν ἀνδρομήκη πυρὸν ἠκονημένῃ
ἅρπῃ θερίζει· τὸν ξένον δὲ δράγματι
αὐτῷ κυλίσας κρατὸς ὀρφανὸν φέρει
γελῶν θεριστὴν ὡς ἄνουν ἠρίστισεν.
ὅτι δ' ἀπέθανεν ὑφ' Ἡρακλέους φησὶ λέγων·
(*Α.*) θανὼν μὲν εἰς Μαίανδρον ἐρρίφη ποδός,
ὥσπερ σόλος τις. ἦν δ' ὁ δισκεύσας ἀνὴρ —
(*Β.*) τίς δή; (*Α.*) πύθοι' ἄν. τίς γὰρ ἀνθ' Ἡρακλέους;

Φιλάνθρωπος ὁ τύραννος τὸ ἐν Ὀλυμπίᾳ ἱερὸν ἐμπρήσας ἐπὶ τῷ μὴ κατὰ γνώμην αὐτοῦ τὰς εὐχὰς τελεῖσθαι, ὑποστρέφων εἰς Ἦλιν οὐ μόνον αὐτὸς ἐκεραυνώθη, ἀλλὰ καὶ οἱ σὺν αὐτῷ ὄντες τριακόσιοι.

Ἀλφαιὸς ὁ Σαγγαρίου τοῦ ποταμοῦ υἱὸς Ἀθηνᾶν αὐλητικὴν διδάξας καὶ βιαζόμενος τὴν θεὸν ὑπὸ Διὸς ἐκεραυνώθη.

Ἄρδυς Ἱπποκόωντος υἱὸς Ἥραν εἰς Ἄργος πορευομένην βιαζόμενος ὑπὸ Διὸς ἐκεραυνώθη.

Φόρβας Θεσπρωτὸς Δημητρὸς ἐρασθεὶς καὶ βιαζόμενος τὴν θεὸν ὑπὸ Διὸς ἐκεραυνώθη.

Οὐαλέριος Οὐηστῖνος ἐτυφλώθη ὑπὸ Λευκίου Οὐμβρίου διὰ τὸν τοῦ υἱοῦ Ῥουστίκου θάνατον, ὃν παρα-

1. εὖ καὶ πεχόρτασεν codd. || 2. προὔτειν' codd. || 3. ὄκνει codd. || 4. ἐπιστατῶν οἰδῆα codd. || 5. κηρπευμάτων codd. || 6. ἠονημένη codd. || 9. γερῶν — ἠρίστησεν codd., corr. Cas. || 11. εἰς] οὖν codd. || 12. σοφός τις ὥσπερ δίσκος· ἦν δ' ὁ ἰσκεύσας ἀνὴρ πυθοῖο ... codd. || 14. φίλαυτος H. || 18. Ἀλφειὸς E. || 25. Οὐιστῖνος codd.

καταθήκην παρὰ Οὐμβρίου λαβὼν ἀνεῖλε διὰ τὰ μετ' αὐτοῦ χρήματα.

Λυκάων ὁ βασιλεὺς μετεμορφώθη εἰς λύκον διὰ τὸ τῷ Διὶ παραθεῖναι ἐπὶ τῆς τραπέζης κρέα ἀνθρώπινα παρ' αὐτῷ ξενουμένῳ.

Ἄργος ὁ πανόπτης Ἰοῦς φύλαξ ἀναιρεθεὶς ὑφ' Ἑρμοῦ εἰς ὄρνεον ταὼν μετέβαλε κατ' ἔλεον Ἥρας, οὗ διὰ τῶν πτερῶν ἡ πολυπληθία τῶν ὀμμάτων φαίνεται.

Σύριγξ νύμφη διωκομένη ὑπὸ Πανὸς εἰς τὸν Λάδωνα ποταμὸν αὑτὴν ἔρριψε, καλάμων δὲ φυέντων Πὰν τεμὼν καὶ ὄργανόν τι κατασκευάσας σύριγγα προσηγόρευσεν εἰς τιμὴν τῆς προειρημένης νύμφης.

Κύκνος Σθενέλου υἱὸς διὰ τὸ Φαέθοντος πένθος εἰς ὁμώνυμον ὄρνεον [μετέβαλεν].

Κορώνη Κορωνέως θυγάτηρ τοῦ Φωκέων δυνάστου φεύγουσα τὸν Ποσειδῶνος ἔρωτα εἰς τὸ ὁμώνυμον μετέβαλεν ὄρνεον κατ' ἔλεον Ἀθηνᾶς.

Νυκτιμένη Κλυμένου θυγάτηρ φεύγουσα τὸν τοῦ πατρὸς ἔρωτα κατ' ἔλεον Ἀθηνᾶς εἰς γλαῦκα μετεμορφώθη.

Ἥλιος Λευκοθόῃ τῇ Ὀρχομένου μιγῆναι θελήσας εἰς τὴν μητέρα τῆς προειρημένης μετεμορφώθη. ταύτην ὁ πατὴρ ζῶσαν κατώρυξεν, Ἥλιος δὲ εἰς δένδρον λιβανοφόρον μετεμόρφωσε, ποιήσας ἐκ τοῦ τάφου αὐτῆς φῦναι, τὴν δ' ἀδελφὴν αὐτῆς εἰς πόαν ἡλιοτρόπιον διὰ τὸ κατηγορῆσαι αὐτῆς.

14. *μετέβαλεν* videtur excidisse. || 18. *Νυκτινόμη* codd., corr. Heer.

Λευκώνη Κυανίππου γυνή, φιλοκυνήγου τοῦ ἀνδρὸς ὑπάρχοντος ζηλοτυποῦσα καὶ ὑποπτεύουσα πρὸς ἑτέραν αὐτὸν πορεύεσθαι γυναῖκα αὐτῆς ἀμελοῦντα, νυκτὸς ἀκολουθήσασα καὶ λάθρα εἰς τὴν ὕλην ἐγκρυβεῖσα ὑπὸ τῶν τοῦ ἀνδρὸς κυνῶν διεσπάσθη.

Πολύυμνος Ἀργεῖος Διονύσου ἐρασθεὶς ὑπέσχετο ζητοῦντι τὴν εἰς ᾅδου κάθοδον μηνύσειν, ἐὰν αὐτῷ τῆς ὥρας ἀποχαρίσεται. ἐπαγγειλαμένου δὲ τοῦ θεοῦ ἐμήνυσε διὰ τῆς Λέρνης οὔσης ἀβύσσου. ἀναγαγὼν δὲ τὴν Σεμέλην εὗρε τὸν Πολύυμνον τετελευτηκότα, θέλων δὲ εὐορκεῖν ἐλθὼν ἐπὶ τὸν τάφον τοῦ ἐραστοῦ συκίνῳ φάλλητι περιεκυλίσατο. διὰ τοῦτο ἔνιοί φασι ἵστασθαι τῷ θεῷ φάλλους ὑπομνήματα τῆς εὐορκίας.

2. πρὸς — ἀμελοῦντα om. H. ‖ 4. ἐγκρυβοῦσα H. ‖ 8. ἀποχαρήσεται vulg.

ADDENDA.

Toto opere absoluto demum incidi in Iacobi Leopardi comitis emendationes, quae leguntur in mus. Rhen. 3, 1. p. 6 sqq., partim verissimas, partim praeter necessitatem factas, partim etiam cum nostris consentientes. Emendat ille igitur

in Antigono p. 63. v. 22. αὐτῷ. ‖ 64, 2. παρακαταθέσθαι. ‖ 78, 19. πρὸς τὴν ἡμετέραν ἐκλογὴν ἐποποιεῖ (*facit*) τῶν προειρημένων αὐτῷ (vel αὐτὸ) τὸ ξένον καὶ παράδοξον, ἐκ τι τούτων cett. ‖ 80, 21. γεννᾶν] ποιεῖν, uti nos. ‖ 82, 8. εἰσ'. ‖ 95, 12. fortasse latet ἢ δ' ἄλλη Διὸς ὅτι.

in Apollonio (de quo eodem fere modo auctor iudicat ac nos in praefatione) 105, 15. τοιαῦτα. ‖ 107, 4. ἐφιπταμένη, uti nos. ‖ ib. 12. add. ἐν Λέτρῳ, uti nos. ‖ ib. 15. παραυτίκα. ‖ 108, 19. ἐπτάμενα, uti nos. ‖ 112, 3. ἐλλύχνια, uti nos. ‖ ib. 21. εἶπεν (pro ἔστιν) ἐπὶ πᾶσιν τῶν ἐν Λιβύῃ τι ἔθνος εἶναι, ὑπερῷον .... (lacunam statuit), Συρτίων δὲ καὶ Καρχ. π. α. κείμενον. ‖ 115, 3. cap. 49. Ἄξια δ' ἐστὶν ἐπιστάσεως ἃ Θεοφρ. ἐν τῷ π. ἐνθ. ἐξεῖπεν, vel potius ἄξια δὲ ἐπιστ..... ἐξεῖπεν, deletis vocc. ἐστὶν et τὰ εἰρημένα. Similis corruptio in capp. 50. 51, ubi legendum: 51. ἄξιον δὲ ἐπιστῆσαι πρᾶγμα Ἀριστοτέλης ἐν τ. φ. πρ. εἴρηκεν. ‖ 115, 9. καθάπερ, φησίν, Ἀριστόξενον λέγεται τὸν μουσικὸν καταστῆσαι (*sanavisse*) τὸν etc. Quae in medio sunt, expungenda censet, ut ex alio loco seu deperdito capite huc perperam illata. ‖ ib. 15. μαινόμενον. ‖ ib. 16. προάγων, καί. ‖ 116, 6. post σκεινῶν add. πρὸ τοῦ δείλην γενέσθαι seu μέχρι δείλη ἐγένετο, ex Theophr.

in Phlegonte 118, 3. διὰ δὲ τὸ — ἣν ὡς. ‖ ib. 16. δυσφορεῖν· τῷ νεανίσκῳ δὲ τῷ ξένῳ. ‖ ib. 22. ὡς εἶχεν. ‖ 120, 2. ἐνταῦθα. ‖ 122, 20. ante vel post verba τοὺς — γῆν deest verbum seu participium potius verbi quod *exorare, impetrare* vel eiusmodi aliquid significat. fort. inserendum πείσας. ‖ 127, 16. ὄντος. ‖ 128, 4. ἀπό. ‖ 131, 18. αὐτῇ. ‖ 132, 9. πᾶσιν, uti nos. ‖ capp. 15. et 16. coniungenda. ‖ 138, 16. ἐπιγεγράφθαι. ‖ ib. 26. τῶν. ‖ 140, 5. τοῦ αὐτοκράτορος γενομένου] deesse hic vel ὕστερον vel μετὰ ταῦτα vel eiusmodi aliquid ex descriptione olympiadum ap. Meurs. in not. potest erui. ‖ 206, 7. ἀποστείλαντες, uti nos. —

Ceterum adde in praef. p. XXII. Apollonidis περὶ κατεψευσμένης ἱστορίας, p. 179. fragmentum Philonis ex praef. p. XXXVI, p. 180, 20 sqq. cf. mus. Rhen. 4, 1. p. 12. Denique moneodum, ex Ael. h. an. 7, 40. Hermippi mirabilium narrationum collectionem temere effecisse Lozynskium Herm. fr. p. 52. et 130.